SISMANOGLIO

4691

ΚΛ. ΑΙΛΙΑΝΟΥ
ΣΟΦΙΣΤΟΥ
ΠΟΙΚΙΛΗΣ
ΙΣΤΟΡΙΑΣ
ΒΙΒΛΙΑ ΙΔ΄.

CL. AELIANI
SOPHISTAE
VARIAE
HISTORIAE
LIBRI XIV.

HALAE
TYPIS ORPHANOTROPHEI
CIↃIↃCCLXXII.

Expreſſimus in hac editione textum *Kühniana*e illius, quam repetiit *Lederlinus*, Argent. 1713. 8; ita tamen, vt *Grononiana*, a. 1731. 4. ex prægreſſis omnibus adornata, collata vbique ſit. Hinc lectiones iſtæ, quas Gronouius in textum recepit, in ora paginarum apparent. Admiſimus etiam iſtas parentheſes, quibus Gronouius dubias lectiones diſtinxit; diuerſas tamen et ab illis, quæ in ora vel duplicem varian-tem vel coniecturas Criticorum ſignificant, et ab vncis iis, qui in textu quædam diſtinguunt, quæ deſunt apud Kühnium. Non deleuimus autem ea, quæ in Gronouiana editione mendoſe abſunt, quorum exempla habuimus in integris commatibus, quæ verſio ipſa prodebat. Neque putet lector, nos ea Kühnio addidiſſe, quæ ibi T. 2. p. 870. Perizonius per turpe vitium editionis *poſtremæ* ET *Kühnianæ* omiſſa dicit; non enim aberant exemplo noſtro. Verſio latina ſeparatim prodibit, vt vel omitti, vel addi et cuiuis paginæ e regione adiici queat; quemadmodum id in edendo Herodiano ante hos annos apud nos factum eſt. Dab. Halæ a. d. 30. Iul. 1772.

M. B.

ΤΟΥ ΑΙΛΙΑΝΟΥ ΒΙΟΣ

ἐκ τῆ δευτέρᾳ τῶν βίων τῶν Σοφιστῶν τῆ Φιλοστράτε.

Αἰλιανὸς δὲ Ῥωμαῖος μὲν ἦν, ἠττίκιζε δὲ ὥσπερ οἱ ἐν τῇ μεσογείᾳ Ἀθηναῖοι. ἐπαίνε μοι δοκεῖ ἄξιος ὁ ἀνὴρ ἔτος. πρῶτον μὲν ἐπειδὴ καθαρὰν φωνὴν ἐξεπόνησε, πόλιν οἰκῶν ἑτέρᾳ φωνῇ χρωμένην. ἔπειθ' ὅτι προσρηθεὶς Σοφιστὴς ὑπὸ τῶν χαριζομένων τὰ τοιαῦτα, ἐκ ἐπίστευσεν, οὐδὲ ἐκόλασε τὴν ἑαυτῆ γνώμην, οὐδὲ ἐπήρθη ὑπὸ τῆ ὀνόματος ἔτω μεγάλε ὄντος, ἀλλ' ἑαυτὸν εὖ διασκεψάμενος, ὡς μελέτη ἐκ ἐπιτήδειον, τῷ συγγράφειν ἐπέθετο, καὶ ἐθαυμάθη ἐκ τέτε. ἡ μὲν ἐπίπαν ἰδέα τῆ ἀνδρὸς

ἀφέλεια προσβάλλουσά τι τῆς Νικοστράτου ὥρας· ἡ δὲ ἐνίοτε πρὸς Δίωνα ὁρᾷ, καὶ τὸν ἐκείνου τόνον. ἐντυχὼν δέ ποτε αὐτῷ Φιλόστρατος ὁ Λήμνιος βιβλίον ἔτι πρόχειρον ἔχοντι, καὶ ἀναγιγνώσκοντι αὐτὸ σὺν ὀργῇ, καὶ ἐπιτάσει τῇ φθέγματος, ἤρετο αὐτὸν ὅ,τι σπουδάζοι; καὶ ὃς, ἐκπεπόνηταί μοι, ἔφη, κατηγορία τῆ Γύννιδος. καλῶς γὰρ ἔτω τὸν ἄρτι καθήμενον τύραννον, ἐπειδὴ ἀσελγείᾳ πάσῃ τὰ Ῥωμαίων ἤχυνε. καὶ ὁ Φιλόστρατος, ἐγώ σε, εἶπεν, ἐθαύμαζον ἄν, εἰ ζῶντος κατηγόρησας· εἶναι γὰρ δὴ τὸ μὲν ζῶντα τὸν τύραννον ἐπικόπτειν, ἀνδρός· τὸ δὲ ἐπεμβαίνειν κειμένῳ, παντός. ἔφασκε δὲ ἀνὴρ ἔτος, μήδ' ἀποδεδημηκέναι πῆ τῆς γῆς ὑπὲρ τὴν Ἰταλῶν χώραν, μηδὲ ἐμβῆναι ναῦν, μηδὲ γνῶναι θάλατταν. ὅθεν καὶ λόγῳ πλείονος κατὰ τὴν Ῥώμην ἠξιοῦτο, ὡς τιμῶν τὰ ἤθη. Παυσανίᾳ μὲν ἓν ἀκροατὴς ἐγένετο. ἐθαύμαζε δὲ τὸν Ἡρώδην, ὡς ποικιλώτατον Ῥητόρων. ἐβίω δὲ ὑπὲρ τὰ ἑξήκοντα ἔτη, καὶ ἐτελεύτα ἐκ ἐπὶ παισί. παιδοποιίαν γὰρ παρητήσατο, τῷ μὴ γῆμαί ποτε. τοῦτο δὲ εἴτε εὐδαίμον, εἴτε ἄθλιον, ἐ τῇ παρόντος καιρῷ φιλοσοφῆσαι.

ΑΙΛΙΑ-

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Κεφάλαιον ά.

Περὶ πολύποδος.

Δεινοὶ κατὰ κοιλίαν οἱ πολύποδες, καὶ πᾶν ὁτιοῦν φαγεῖν ἄμαχοι. πολλάκις ἓν ἐδὲ ἀλλήλων ἀπέχουσι. ἀλλὰ τῷ μείζονι ὁ βραχύτερος ἁλῇς, καὶ ἐμπεσὼν τοῖς ἀνδρειοτέροις θηράτροις, τοῖς καλωμένοις τῆ ἰχθύος πλοκάμοις, εἶτα αὐτῷ γίνεται δεῖπνον. ἑλκύουσι δὲ οἱ πολύποδες καὶ τὰς ἰχθῦς τὸν τρόπον τοῦτον. ὑπὸ ταῖς πέτραις κάθηνται, καὶ ἑαυτὰς εἰς τὴν ἐκείνων μεταμορφοῦσι χροιάν, καὶ τοῦτο εἶναι δοκοῦσιν, ὅπερ ἓν καὶ πεφύκασιν αἱ πέ-

τραι. οἱ τοίνυν ἰχθῦς προσνέουσιν, οἱονεὶ τῇ πέτρᾳ, τοῖς πολύποσιν, οἱ δὲ, ἀφυλάκτους ὄντας αὐτὲς περιβάλλουσι ταῖς ἐξ ἑαυτῶν ἄρκυσι, ταῖς πλεκτάναις.

Κεφ. β'.

Περὶ Φαλάγγων.

Ὑφαντικὴν, καὶ ὑφαίνειν, καὶ δῶρα Ἐργάνης δαίμονος, ἔτε ἴσασιν αἱ Φάλαγγες, ἔτε εἰδέναι βέλονται. ἢ τίποτ' ἂν καὶ χρήσαιτο τῷ τοιῶδε ἐθήματι τὸ τοιῦτον θηρίον; τὸ δὲ ἄρα πάγη, καὶ οἱονεὶ κύρτος ἐστὶ τοῖς ἐμπίπτουσι. καὶ ἡ μὲν ἀρκυωρεῖ, πάνυ σφόδρα ἀτρεμοῦσα, καὶ ἔοικεν ἀκινήτῳ, καὶ τὸ μὲν ἔπεσεν, ὅ, τι ποτέ ἐστι τὸ ἐμπεσὸν, ἦδ' ἔχει δαῖτα. τοσοῦτον δ' ἐμπίπτει, ὅσον καὶ τὸ ὕφασμα κατέχειν δυνατόν ἐστι, καὶ ἐκείνην δειπνεῖν ἀπόχρη.

Κεφ. γ'.

Περὶ Αἰγυπτίων Βατράχων.

Σοφόν τι ἄρα χρῆμα ἦν γένος Βατράχων Αἰγυπτίων. καὶ ἓν καὶ τῶν ἄλλων ὑπερφέρουσι καλὰ πολύ. ἐὰν γὰρ ὕδρῳ περιπέσῃ Νείλῳ θρέμμαι Βάτραχος, καλάμῳ

λάμῳ τρύφος ἐνδακὼν, πλάγιον φέρει, καὶ ἀπρὶξ ἔχεται, καὶ ἐκ ἀνίησι κατὰ τὸ καρτερόν. ὁ δὲ ἀμηχανεῖ καταπιεῖν αὐτὸν αὐτῷ τῷ καλάμῳ. ἐ γὰρ οἱ χωρεῖ περιλαβεῖν τοσῦτον τὸ σῶμα, ὅσον ὁ κάλαμος διέργει καὶ ἐκ τέτε περιγίνονται τῆς ῥώμης τῶν ὕδρων οἱ βάτραχοι τῇ σοφίᾳ.

Κεφ. δ'.

Περὶ κυνὸς Αἰγυπτίε.

Καὶ ἐκεῖνο δὲ κυνὸς Αἰγυπτίε τὸ σοφόν. ἐκ ἀθρόως, ἐδὲ ἀνέδην, ἐδὲ ἐλευθέρως ἐκ τῦ ποταμῦ πίνουσιν, ἅμα ἐπικύπτοντες, καὶ ὅσον διψῶσι λάπτοντες. ὑφορῶνται γὰρ τὰ ἐν αὐτῷ θηρία. παραθέσει δὲ τὴν ὄχθην, καὶ παρακλέπτοντες, πίνουσιν, ὅσον ἁρπάσαι, πάλιν καὶ πάλιν. εἶτα ἅτως ἐκ διαλειμμάτων ἐκορέσθησαν, ἐ μὴν ἀπώλοντο, καὶ ἓν καὶ ἠκέσαντο τὸ δίψος.

Κεφ. ε'.

Περὶ Θαλαττίας ἀλώπεκος.

Ἡ ἀλώπηξ, ἐ μόνον τὸ χερσαῖον θηρίον δολερόν ἐστιν, ἀλλὰ καὶ ἡ θαλαττία πανῦργός ἐστι. τὸ μὲν γὰρ δέλεαρ

ἐχ ὑφορᾶται, ἀδὲ μὴν φυλάττεται διὰ τὴν ἀπραξίαν τοῦτο. τοῦ δὲ ἀγκίστρου καταφρονεῖ καὶ πάνυ ἡ ἁλώπηξ. πρὶν ἢ γὰρ τὸν ἀσπαλιέα σπάσαι τὸν κάλαμον, ἡ δὲ ἀνέθορε, καὶ ἀπέκειρε τὴν ὁρμιάν, καὶ νήχεται αὖθις. πολλάκις δ' ἓν καὶ δύο καὶ τρία κατέπιεν ἄγκιστρα. ὁ δ' ἁλιεὺς ἐκείνην ἐκ ἐδείπνησε, προϊεῖσαν τῆς θαλάσσης.

Κεφ. ε'.

Περὶ χελωνῶν θαλαττίων.

Αἱ χελῶναι αἱ θαλάσσιαι ἐν τῇ γῇ τίκτουσι, τεκοῦσαι δὲ, παραχρῆμα καλέχωσαν ἐν τῇ γῇ τὰ ᾠά. εἶτα ἐπιστρέψασαι ὀπίσω εἰς ἦθη τὰ ἑαυτῶν, νήχονται. εἰσὶ δὲ εἰς τοσοῦτον λογισικαὶ, ὥστε ἐφ' ἑαυτῶν 1) λογίζεσθαι τὰς ἡμέρας τὰς τεσσαράκοντα, ἐν αἷς τὰ ἔγγονα αὐταῖς, τῶν ᾠῶν συμπαγέντων, ζῶα γίνονται. ὑποστρέψασαι ἓν αὖθις εἰς τὸν χῶρον, ἐν ᾧ κατέθεντο κρύψασαι τὰ ἑαυτῶν βρέφη, ἀνώρυξαν τὴν γῆν, ἣν ἐπέβαλον, καὶ κινεμένας ἤδη τὰς νεοττιὰς, ἕπεσθαι δυναμένας αὐταῖς, ἀπάγουσιν.

Κεφ.

1) ἐκλογίζεσθαι.

Κεφ. ζ'.

Περὶ ἀγρίων συῶν.

Ἦσαν ἄρα οἱ σῦς οἱ ἄγριοι ἰατρικῆς ἐκ ἀπαίδευτοι, καὶ θεραπείας ἄμοιροι γᾶν, ὅταν αὐτὰς λαθόντες, ὑοσκυάμου φάγωσι, τὰ ἐξόπισθεν ἐφέλκουσι, παρειμένως ἔχοντες ὅπως ἑαυτῶν. εἶτα σπώμενοι, ὅμως ἐπὶ τὰ ὕδατα παραγίνονται, καὶ ἐνταῦθα τῶν καρκίνων ἀναλέγουσι, καὶ ἐσθίουσι προθυμότατα. γίνονται δὲ ὅτι τὸ πάθος φάρμακον, καὶ ἐργάζονται ὑγιεῖς αὐτὰς αὖθις.

Κεφ. η'.

Περὶ Φαλαγγίου.

Φαλάγγιον ἐλάφοις τοσοῦτόν ἐστι κακὸν, ὅσον καὶ ἀνθρώποις. καὶ κινδυνεύουσιν ἀπολέσθαι διαταχέως. ἐὰν μέντοι κιττὸν γεύσωνται, ἐλύπησεν αὐτὰς τὸ δῆγμα ἐδέν. δεῖ δὲ εἶναι τὸν κιττὸν ἄγριον.

Κεφ. θ'.

Περὶ λέοντος νοσοῦντος.

Λέοντα καὶ νοσοῦντα τῶν μὲν ἄλλων ἐδὲν αἰνῆσι· φάρμακον δέ ἐστιν αὐτῷ τῆς νόσου, βρωθεὶς πίθηκος.

Κεφ. ί.

Πῶς αἱ βεβλημέναι ἐν Κρήτῃ αἶγες θεραπεύονται.

Οἱ Κρῆτές εἰσι τοξεύειν ἀγαθοί. καὶ ἔν καὶ τὰς αἶγας βάλλουσιν ἐπ' ἄκροις νεμομένας τοῖς ὄρεσιν· αἱ δὲ βληθεῖσαι παραχρῆμα τῆς δικτάμνου βοτάνης διέτραγον, καὶ ἅμα τῷ γεύσασθαι, ὅλα ἐκεῖνα τὰ βέλη ἐκπίπτει.

Κεφ. ιά.

Ὅτι μαντικοὶ οἱ μῦες.

Ἦσαν δ' ἄρα μαντικωτάτων ζώων καὶ μῦες. γηρώσης γὰρ οἰκίας ἤδη καὶ μελλούσης καταλιθαίνειν, αἰσθάνονται πρῶτοι. καὶ ἀπολιπόντες τὰς μυωπίας τὰς αὑτῶν καὶ τὰς ἐξ ἀρχῆς διατριβὰς, ἧ ποδῶν ἔχουσιν, ἀποδιδράσκουσι, καὶ μετοικίζονται.

Κεφ. ιβ'.

Περὶ μυρμήκων.

Ἔχουσι δὲ καὶ οἱ μύρμηκες, ὡς ἀκούω, μαντικῆς τινα αἴσθησιν. ὅταν γὰρ μέλλῃ λιμὸς ἔσεσθαι, δεινῶς εἰσι φιλόπονοι πρὸς

πρὸς τὸ θησαυρίσαι, καὶ ἑαυτοῖς ἀποταμεισάσθαι τὰς πυρὰς, καὶ τὰ λοιπὰ τῶν σπερμάτων, ὅσα μυρμήκων δεῖπνόν ἐστι.

Κεφ. ιγ'.

Περὶ Γέλωνος.

Ὁ Συρακούσιος Γέλων κατ' ὄναρ ἐβέβλητο κεραυνῷ, καὶ διὰ τοῦτο ἐδόα, οὐκ ἀμυδρὸν, οὐδὲ ἀσθενὲς, ὡς ἐν ὀνείρῳ, ἀλλ' ἀνδρικῶς, ἅτε δεινῶς ἐκπλαγεὶς ὑπὸ τοῦ δείους. ὁ δὲ κύων, ὥσπερ ἦν αὐτῷ παρεκάθευδεν, ἐκ τῆς βοῆς διεταράχθη, καὶ περιβὰς αὐτὸν, ὑλάκτει πάνυ σφοδρῶς ἀπειλητικὸν, καὶ σύντονον. καὶ ἐκ τούτων ὁ Γέλων ἅμα τε ἀφυπνίσθη, καὶ τοῦ δείους ἀφέθη.

Κεφ. ιδ'.

Περὶ κύνων.

Λέγει Ἀριστοτέλης τὸν κύνον καλλίπαιδα εἶναι, καὶ πολύπαιδα, ἔχειν γε μὴν καὶ θυμόν. πολλάκις γοῦν εἰς ὀργὴν καὶ μάχην προελθόντες, καὶ ἀλλήλους ἀπέκλεισαν οἱ κύνες. λέγει δὲ ὁ αὐτὸς, καὶ μάχεσθαι τοὺς κύνας τοῖς ἀετοῖς, ἀμύνασθαί γε μὴν αὐτοὺς ἀλλ' οὐκ ἄρχειν ἀδίκων. ὅτι δὲ εἰσὶ φιλῳδοὶ, τοῦτο μὲν ἤδη καὶ τε-

θρύλληται. ἐγὼ δὲ ἄδοντος κύκνου ἐκ ἤκουσα, ἴσως δὲ ἐδὲ ἄλλος. πεπίστευται δὲ, ὅτι ᾄδει, καὶ λέγουσί γε, αὐτὸν μάλιστα ἐκεῖνον εἶναι τὸν χρόνον εὐφωνότατον, καὶ ᾠδικώτατον, ὅταν ἤ περὶ τὴν καταστροφὴν τοῦ βίου. διαβαίνουσι δὲ καὶ πέλαγος, καὶ πέτονται καὶ κατὰ θαλάσσης, καὶ αὐτοῖς ὑπάμνει τὸ πτερόν.

Κεφ. ιέ.

Περὶ περιστερῶν.

Ἐκ διαδοχῆς φασιν ἐπῳάζειν τὰς περιστερᾶς. εἶτα τῶν νεοττῶν γενομένων, ὁ ἄρρην ἐμπτύει αὐτοῖς, ἀπελαύνων αὐτῶν τὸν φθόνον, φασίν, ἵνα μὴ βασκανθῶσι δι' ἄρα τοῦτο. τίκτει δὲ ὠὰ δύο ἡ θήλεια, ἂν τὸ μὲν πρῶτον, ἄρρεν ποιεῖ πάντως, τὸ δὲ δεύτερον, θῆλυ. τίκτουσι δὲ αἱ περιστεραὶ κατὰ πᾶσαν ὥραν τοῦ ἔτους· ἔνθέν τοι καὶ δεκάκις τοῦ ἔτους ᾠδίνουσι. λόγος δέ τις περίεισιν Αἰγύπτιος, λέγων δωδεκάκις τὰς ἐν Αἰγύπτῳ τίκτειν. λέγει δὲ Ἀριστοτέλης καὶ διάφορον εἶναι τῆς περιστερᾶς τὴν πελειάδα. τὴν μὲν γὰρ περιστερὰν εἶναι μείζονα, τὴν δὲ πελειάδα βραχυτέραν. καὶ τὴν μὲν περιστερὰν τιθασσὸν εἶναι, τὴν δὲ ἥ. λέγει δὲ

δὲ ὁ αὐτὸς, μὴ πρότερον ἐπιβαίνειν τὸν ἄρρενα τῇ θηλείᾳ, πρὶν ἢ φιλήσει αὐτήν· μὴ γὰρ ἀνέχεσθαι τὰς θηλείας τὴν τῶν ἀρρένων ὁμιλίαν, τοῦ φιλήματος ἔρημον. προστίθησι τούτοις καὶ ἐκεῖνα, ὅτι καὶ αἱ θήλειαι ἀλλήλαις ἀναβαίνουσιν, ὅταν τῆς πρὸς ἄρρενα μίξεως ἀτυχήσωσι. καὶ ᾠδὴν μὲν εἰς ἀλλήλας προΐενται, τίκτουσι δὲ ὠά, ἐξ ὧν νεοττοὶ ἂ γίνονται αὐτοῖς. εἰ δέ τι Καλλιμάχῳ χρὴ προσέχειν, φάσσαν, καὶ πυραλλίδα, καὶ περιστεράν, καὶ τρυγόνα, φησὶ, μηδὲν ἀλλήλαις ἐοικέναι. Ἰνδοὶ δὲ φασι λόγοι, περιστερὰς ἐν Ἰνδοῖς γίνεσθαι μηλίνας τὴν χρόαν. Χάρων δὲ ὁ Λαμψακηνὸς περὶ τὸν Ἄθω φανῆναι περιστερὰς λευκὰς λέγει, ὅτε ἐνταῦθα ἀπώλοντο αἱ τῶν Περσῶν τριήρεις, παρακάμπτουσαι τὸν Ἄθω. ἐν Ἔρυκι δὲ τῆς Σικελίας, ἔνθα ἐστὶν ὁ τῆς Ἀφροδίτης νεὼς, σεμνός τε, καὶ ἅγιος, ἔνθα κατά τινα καιρὸν θύουσιν οἱ Ἐρυκινοὶ τὰ ἀναγώγια, καὶ λέγουσι τὴν Ἀφροδίτην εἰς Λιβύην ἀπὸ τῆς Σικελίας ἀνάγεσθαι, ἀφανεῖς ἐκ τοῦ χώρου αἱ περιστεραὶ γίνονται, ὥσπερ τῇ 1) θεᾷ συναποδημοῦσαι. κατά γε μὴν τὸν λοιπὸν χρόνον πάμπολύ τι πλῆθος

1) θεῷ.

θος τῶνδε τῶν ὀρνίθων ἐπιπολάζειν τῷ ναῷ τῆς Θεᾶ ὠμολόγηται. Ἀχαικοὶ δὲ αὖ πάλιν λέγουσι λόγοι, καὶ τὸν Δία αὐτὸν μεταβαλεῖν τὴν μορφὴν εἰς περιστεράν, ἐραθέντα παρθένου, Φθίας ὄνομα. ἐν Αἰγίῳ δὲ ᾤκει ἡ Φθία αὕτη.

Κεφ. ιε'.

Περὶ Σωκράτους, ὅτε τὸ ᾠδεῖον ἔπιεν.

Ὅτε ἦκεν ἡ ναῦς ἡ ἐκ Δήλου, καὶ ἔδει Σωκράτην ἀποθνήσκειν, ἀφίκετο εἰς τὸ δεσμωτήριον Ἀπολλόδωρος, ὁ τοῦ Σωκράτους ἑταῖρος, χιτῶνά τε αὐτῷ φέρων ἐρίων πολυτελῆ καὶ εὐήτριον, καὶ ἱμάτιον τοιοῦτο. καὶ ἠξίου ἐνδύνται αὐτὸν τὸν χιτῶνα, καὶ ἱμάτιον περιβαλόμενον, εἶτα ἤδη πιεῖν τὸ φάρμακον. ἔλεγε γὰρ αὐτῷ, καλῶν ἐνταφίων μὴ ἀμοιρήσειν, εἰ ἐν αὐτοῖς ἀποθάνοι· καὶ γὰρ ἦν καὶ προκεῖσθαι σὺν τῷ κόσμῳ τὸν νεκρὸν ἐπάνω τι ἀδόξως. ταῦτα τὸν Σωκράτην ὁ Ἀπολλόδωρος. ὁ δὲ οὐκ ἠνέχετο, ἀλλ' ἔφη πρὸς τοὺς ἀμφὶ τὸν Κρίτωνα, καὶ Σιμμίαν, καὶ Φαίδωνα. καὶ πῶς ὑπὲρ ἡμῶν καλῶς Ἀπολλόδωρος ἅτε δοξάζει, εἴγε αὐτὸ πεπίστευκεν, ὅτι μετὰ τὴν

τὴν ἐξ Ἀθηναίων φιλοτησίαν, καὶ τὸ τοῦ φαρμάκου πόμα, ἔτι ὅτως ὄψεται Σωκράτην. εἰ γὰρ οἴεται τὸν ὀλίγον ὕστερον ἐξιμμένον ἐν ποσὶ καὶ κεισόμενόν γ' ἐμὲ εἶναι, δῆλός ἐστί με οὐκ εἰδώς.

Κεφ. ιϛ'.

Περὶ τῶν σμικροπράτων τεθρίππων, καὶ ἐλεγείου.

Ταῦτα ἄρα ἐστὶ τὰ θαυμαζόμενα Μυρμηκίδου τοῦ Μιλησίου, καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου, τὰ μικρὰ ἔργα. τέθριππα μὲν ἐποίησαν ὑπὸ μυίας καλυπτόμενα, καὶ ἐν σησάμῳ δίσκον ἐλεγεῖον χρυσοῖς γράμμασιν ἐπέγραψαν. ὧν, ἐμοὶ δοκεῖν, ὁ σπουδαῖος οὐδέτερον ἐπαινέσεται. τί γὰρ ἄλλο ἐστὶ ταῦτα ἢ χρόνου παρανάλωμα;

Κεφ. ιή.

Περὶ τρυφωσῶν γυναικῶν.

Πῶς δὲ ἂν διέρρεον ὑπὸ τρυφῆς αἱ πολλαὶ τῶν [1] γυναικῶν; ἐπὶ μὲν γὰρ τῆς κεφαλῆς σεφάνην ἐπετίθεντο ὑψηλήν, τοὺς δὲ πόδας σανδάλοις ὑπεδοῦντο. ἐκ δὲ τῶν ὤτων αὐταῖς ἐνώτια μακρὰ ἀπεκρέμαντο. τῶν δὲ χιτώνων τὰ περὶ τοὺς ὤμους ἄχρι τῶν

χειρῶν

1) ποτε.

χειρῶν ἀ συνέρραπλον, ἀλλὰ περόναις χρυσαῖς καὶ ἀργυραῖς συνεχέσι κατελάμβανον. καὶ ταῦτα αἱ πάνυ παλαιαί. τῶν δὲ Ἀττικῶν γυναικῶν τὴν τρυφὴν Ἀριστοφάνης λεγέτω.

Κεφ. ιθ'.

Περὶ τῆς τῶν Συβαριτῶν, καὶ Κολοφωνίων, καὶ Κορινθίων τρυφῆς.

Ὁ μὲν δημώδης λόγος καὶ εἰς πάντας ἐκφοιτήσας λέγει, Συβαρίταις καὶ αὐτῇ τῇ Συβάρει αἰτίαν τῆς ἀπωλείας γενέσθαι τὴν πολλὴν τρυφήν. ἃ δὲ ἔκ ἐστι τοῖς πολλοῖς γνώριμα, ταῦτ' ἐγὼ ἐρῶ. Κολοφωνίους φασὶ, καὶ αὐτοὺς διὰ τὴν πάνυ τρυφὴν ἀπολέσθαι. καὶ γάρ τοι καὶ ἔτοι ἐσθῆτι πολυτελεῖ ἐθρύπτοντο, καὶ τραπέζης ἀσωτίᾳ καὶ ὑπὲρ τὴν χρείαν χρώμενοι ὕβριζον. καὶ ἡ τῶν Βακχειαδῶν δὲ τῶν ἐν Κορίνθῳ ἀρχὴ, ἐπὶ μέγα δυνάμεως προελθοῦσα, ὅμως διὰ τὴν τρυφὴν τὴν ἔξω τοῦ μέτρου καὶ αὐτὴ κατελύθη.

Κεφ.

Κεφ. κ'.

Περὶ Διονυσίου συλήσαντος τὰ τῶν θεῶν.

Διονύσιος ἐξ ἁπάντων τῶν ἐν Συρακούσαις ἱερῶν ἐσύλησε τὰ χρήματα. τοῦ δὲ ἀγάλματος τοῦ Διὸς περιεῖλε τὴν ἐσθῆτα καὶ τὸν κόσμον, 1) ὅσον ἦν, φασι, χρυσίου πέντε καὶ ὀγδοήκοντα ταλάντων. ὀνειδιζόντων δὲ τῶν δημιουργῶν ἅψασθαι, ὅδε πρῶτος ἔκρεμασε τὸ ἄγαλμα καὶ τὸ ἀγάλματος δὲ τοῦ Ἀπόλλωνος περιεσύλησεν, ἔχον καὶ αὐτὸ χρυσοῦς βοστρύχους, κελεύσας ἀποκεῖραί τινα αὐτόν. πλεύσας δὲ εἰς Τροιζηνίους, τὰ τοῦ Ἀπόλλωνος, καὶ τῆς Λευκοθέας ἅπαντα ἐσύλησε χρήματα, τὴν παρακειμένην ἀργυρᾶν τῷ Ἀπόλλωνι τράπεζαν κελεύσας ἀφελεῖν, ἀγαθοῦ δαίμονος τῷ θεῷ διδόντος πρόποσιν.

Κεφ. κά.

Ἰσμηνίας αἰχύνης χωρὶς, πῶς Περσῶν βασιλεῖ προσεκύνησεν.

Ἰσμηνίου τοῦ Θηβαίου σοφὸν ἅμα καὶ ἐλληνικὸν, ἐκ ἂν ἀποκρυψαίμην ἔργον. πρεσβεύων ἔτος ὑπὲρ τῆς πατρίδος πρὸς

1) ἦς ἦν, φ.

βασιλέα τῶν Περσῶν, ἀφίκετο μὲν, ἐβέλετο δὲ αὐτὸς, ὑπὲρ ὧν ἦκεν, ἐντυχεῖν τῷ Πέρσῃ. ἔφατο ἓν πρὸς αὐτὸν ὁ χιλίαρχος, ὁ καὶ τὰς ἀγγελίας εἰσκομίζων τῷ βασιλεῖ, καὶ τὸς δεομένος εἰσάγων· Ἀλλ' ὦ ξεῖνε Θηβαῖε, (ἔλεγε δὲ ταῦτα παίζων δι' ἑρμηνέως, Τιθραύστης δὲ ἦν ὄνομα τῷ χιλιάρχῳ·) νόμος ἐστὶν ἐπιχώριος Πέρσαις, τὸν εἰς ὀφθαλμὸς ἐλθόντα τῦ βασιλέως, μὴ πρότερον λόγε μεταλαγχάνειν, πρὶν ἢ προσκυνῆσαι αὐτόν. εἰ τοίνυν αὐτὸς διὰ σαυτῦ συγγενέσθαι θέλεις αὐτῷ, ὥρα σοὶ τὰ ἐκ τῦ νόμε δρᾶν· εἰ δὲ μὴ, τὸ αὐτό σοι τῦτο καὶ δι' ἡμῶν ἀνυθήσεται, καὶ μὴ προσκυνήσαντι. ὁ τοίνυν Ἰσμηνίας, Ἄγε με, εἶπε. καὶ προσελθὼν καὶ ἐμφανὴς τῷ βασιλεῖ γενόμενος, περιελόμενος τὸν δακτύλιον, ἔρριψεν ἀδήλως παρὰ τὰς πόδας, ὃν ἔτυχε φορῶν, καὶ ταχέως ἐπικύψας, ὡς δὴ προσκυνῶν, πάλιν ἀνείλετο αὐτὸν, καὶ δόξαν μὲν ἀπέσειλε τῷ Πέρσῃ προσκυνήσεως· ἃ μὴν ἔδρασεν ἔδεν τῶν ἐν τοῖς Ἕλλησιν αἰχύνην φερόντων. πάντα ἓν ὅσα ἠβελήθη κατεπράξατο, ἔδε ἠτύχησέ τι ἐκ τῦ Πέρσε.

Κεφ.

Κεφ. κβ'.

Δῶρα τὰ διδόμενα παρὰ Περσῶν βασιλέως τοις πρεσβευταῖς.

Δῶρα τὰ ἐκ βασιλέως διδόμενα τοῖς παρ' αὐτὸν ἥκεσι πρεσβευταῖς, εἴτε παρὰ τῶν Ἑλλήνων ἀφίκοιντο, εἴτε ἑτέρωθεν, ταῦτ' ἦν. τάλαντον μὲν ἑκάστῳ Βαβυλώνιον ἐπισήμε ἀργυρίε, τάλαντα δὲ, φιάλαι δύο ἀργυραῖ. δύναται δὲ τὸ τάλαντον τὸ Βαβυλώνιον δύο καὶ ἑβδομήκοντα μνᾶς Ἀτθικὰς, ψέλιά τε καὶ ἀκινάκην ἑδιδε, καὶ στρεπτόν· χιλίων δαρεικῶν ἄξια ταῦτα, καὶ στολὴν ἐπ' αὐτοῖς Μηδικὴν, ὄνομα δὲ τῇ στολῇ δωροφορική.

Κεφ. κγ'.

Περὶ Γοργίε καὶ Πρωταγόρε.

Ἐν τοῖς Ἕλλησι τοῖς πάλαι, μακρᾷ τῇ δόξῃ διέπρεπε Γοργίας ὁ Λεοντῖνος Φιλολάε, καὶ Πρωταγόρας Δημοκρίτε. τῇ δὲ σοφίᾳ τοσῦτον ἐλείποντο, ὅσον ἀνδρῶν παῖδες. ἔοικε γάρ πως ἡ δόξα μὴ πάνυ τι ἀκριβὲς, μήτε ὁρᾶν, μήτε ἀκέειν· ἔνθέν τοι καὶ πολλὰ σφάλλεται, καὶ τὰ μὲν καταχαρίζεται, τὰ δὲ ψεύδεται.

Κεφ.

Κεφ. κδ'.

Περὶ φιλονεικίας Ἡρακλέους καὶ Λεπρέου.

Γλαύκωνος τοῦ Ποσειδῶνος, καὶ Ἀσυδαμείας τῆς Φόρβαντος, γίνεται παῖς Λεπρέας, ὅσπερ ἐν συνεβάλευσε τῷ Αὐγέᾳ, δῆσαι τὸν Ἡρακλῆ, ὅτε αὐτὸν ἀπήτει τὸν ὑπὲρ τοῦ ἄθλου μισθὸν Ἡρακλῆς. ἦν ἕν, οἷα εἰκὸς, πολέμιος τῷ Ἡρακλεῖ ὁ Λεπρέας, ἐκ τῆς τοιαύτης συμβολῆς. Χρόνῳ δὲ ὕστερον ὁ μὲν τοῦ Διὸς παῖς εἰς Καύκωνας ἀφίκετο. δεηθείσης δὲ τῆς Ἀσυδαμείας, διαλύεται τὴν πρὸς τὸν Λεπρέαν ὁ Ἡρακλῆς ἔχθραν. Φιλονεικίᾳ δ' ἐν αὐτοῖς ἐμπίπτει νεανικὴ, καὶ ἐρίζουσιν ἀλλήλοις περὶ δίσκου, καὶ ὕδατος ἀντλήσεως, καὶ τίς καταδεπνήσει ταῦρον πρότερος· καὶ ἐν πᾶσι τούτοις ἡττᾶται Λεπρέας. καὶ ὑπὲρ πολυποσίας ἀγὼν αὐτοῖς ἐγένετο, καὶ ἐνταῦθα πάλιν ὁ Ἡρακλῆς ἐκράτει. διανιώμενος δὲ ὁ Λεπρέας, λαβὼν ὅπλα, εἰς μονομαχίαν προκαλεῖται τὸν Ἡρακλῆ. καὶ ἔν καὶ ἔτισε δίκας ὑπὲρ τῶν παρ' Αὐγέᾳ· μαχόμενος γὰρ ἀπεθνήσκει.

Κεφ.

Κεφ. κέ.

Περὶ Ἀλεξάνδρου μεγαλοφροσύνης εἰς τὸν Φωκίωνα, καὶ τούτου εἰς ἐκεῖνον.

Ἀλέξανδρος ὁ Φιλίππου (εἰ δέ τῳ δοκεῖ, ὁ τοῦ Διὸς, ἐμοὶ γὰρ ἀδὲν διαφέρει) Φωκίωνι μόνα, φασὶ, τῷ Ἀθηναίων στρατηγῷ γράφων, προσετίθει τὸ χαίρειν. ἔτως ἄρα ἠρέσκει τὸν Μακεδόνα ὁ Φωκίων. ἀλλὰ καὶ τάλαντα αὐτῷ ἀργυρίου ἔπεμψεν ἑκατὸν, καὶ πόλεις τέσσαρας ὠνόμασεν, ὧν ἠξίου μίαν, ἣν βούλεται, προελέσθαι αὐτὸν, ἵνα ἔχῃ καρπεῖσθαι τὰς ἐκεῖθεν προσόδους. ἦσαν δὲ αἱ πόλεις αἵδε, Κίος, Ἐλαία, Μύλασα, Πάταρα. ὁ μὲν δὴ Ἀλέξανδρος μεγαλοφρόνως ταῦτα καὶ μεγαλοπρεπῶς. ἔτι γε μὴν μεγαλοφρονέστερον ὁ Φωκίων, μήτε τὸ ἀργύριον προσιέμενος, μήτε τὴν πόλιν. ὡς δὲ μὴ δοκοίη πάντῃ ὑπερφρονεῖν τοῦ Ἀλεξάνδρου, ἐτίμησεν αὐτὸν κατὰ τόδε· τοὺς ἐν τῇ ἄκρᾳ, τῇ ἐν Σάρδεσι, δεδεμένους ἄνδρας ἠξίωσεν αὐτὸν ἀφεῖναι ἐλευθέρους αὐτῷ, Ἐχεκρατίδην τὸν σοφιστὴν, καὶ Ἀθηνόδωρον τὸν Ἰμεραῖον, καὶ Δημάρατον, καὶ Σπάρτωνα, ἀδελφοῦ δὲ ἄρα ἦσην ἔτοι Ῥοδίου.

Κεφ.

Κεφ. κε'.

Περὶ Ἀγλαΐδος τῆς ἀδδηφάγου.

Γυναῖκα ἀκήκοα σαλπίσαι, καὶ τοῦτο ἔργον ἔχειν ἅμα καὶ τέχνην, Ἀγλαΐδα ὄνομα, τὴν Μεγακλέους παῖδα. περίθετον δὲ εἶχε κόμην καὶ λόφον ἐπὶ τῆς κεφαλῆς, καὶ ὁμολογεῖ Ποσείδιππος ταῦτα. δεῖπνον δὲ ἦν ἄρα αὐτῇ κρεῶν μὲν μναῖ δώδεκα, ἄρτων δὲ χοίνικες τέσσαρες, ἔπινε δὲ οἶνον χόας.

Κεφ. κζ'.

Περὶ ἀδδηφαγίας πολλῶν.

Ἀδδηφάγους λέγουσιν ἀνθρώπους γεγονέναι, Πιτυρέαν τὸν Φρύγα, καὶ Κάμβυτα τὸν Λυδὸν, καὶ Φῦον τὸν Παφλαγόνα, καὶ Χαρίδαν, καὶ Κλεώνυμον, καὶ Πείσανδρον, καὶ Χάριππον, καὶ Μιθριδάτην τὸν Ποντικὸν, καὶ Καλαμόδρυν τὸν Κυζικηνὸν, καὶ Τιμοκρέοντα τὸν Ῥόδιον, τὸν ἀθλητὴν ἅμα καὶ ποιητὴν, καὶ Καντίβαριν τὸν Πέρσην, καὶ Ἐρυσίχθονα τὸν Μυρμιδόνος. ἔνθέν τοι καὶ κάνθων ἐκλήθη ἔτος. λέγεται δὲ ἐν Σικελίᾳ Ἀδδηφαγίας ἱερὸν εἶναι, καὶ Σιτῦς ἄγαλμα Δήμητρος. ὁμολογεῖ

γεῖ δὲ καὶ Ἀλκμὰν ὁ ποιητὴς, ἑαυτὸν πολυβορώτατον γεγονέναι. καὶ Κτησίαν δὲ φησί τινα Ἀναξίλας ὁ τῆς κωμῳδίας ποιητὴς πολλὰ ἐσθίειν.

Κεφ. κή.

Περὶ τῶν παρὰ Ῥοδίοις τιμωμένων ὄψων.

Ἀλλὰ ἔγωγε ὑμῖν ἐθέλω εἰπεῖν Ῥόδιον δόξαν. ἐν Ῥόδῳ φασὶ, τὸν μὲν εἰς τὰς ἰχθῦς ὁρῶντα καὶ θαυμάζοντα αὐτὰς, καὶ ὄντα τῶν ἄλλων ὀψοφαγιστατον, ἀλλὰ τοῦτόν γε ὡς ἐλευθέριον ὑπὸ τῶν δημοτῶν ἐπαινεῖσθαι· τὸν γε μὴν 1) εἰς τὰ κρέα ἀπονεύοντα, ὡς Φορτικὸν καὶ γάστριν διαβάλλουσι Ῥόδιοι. εἴτε δὲ ἐκεῖνοι ὀρθῶς, εἴτε ἐκεῖνοι φλαύρως, ὑπερφρονῶ τοῦτο ἐξετάζειν.

Κεφ. κθ'.

Ὅτι οἵς λέοντα ἔτεκεν.

Λέγουσι Κῶων παῖδες, ἐν Κῷ τεκεῖν ἔν τινι κώμῃ Νικίππῃ τῇ τυράννῳ οἶν· τεκεῖν δὲ οὐκ ἄρνα, ἀλλὰ λέοντα. καὶ ἐν τὸ σημεῖον τοῦτο τῷ Νικίππῳ τὴν τυραννίδα τὴν μέλλουσαν αὐτῷ μαντεύσασθαι, ἰδιώτῃ ἔτι ὄντι.

Κεφ.

1) πρὸς τ. κ.

Κεφ. λ'.

Ὅτι Γαλέτης ὁ μάλλον διὰ τὴν μορφὴν, ἢ διὰ τὴν σύνεσιν ὑπὸ τῶ Πτολεμαίε λίαν ἠράσθη.

Πτολεμαῖος ὁ βασιλεὺς ἐρώμενον εἶχε Γαλέτην ὄνομα, ἰδεῖν κάλλιστον. ἀμείνων δὲ ἦν ἄρα τῷ μειρακίῳ γνώμη τῆς μορφῆς. πολλάκις γὰρ αὐτῷ καὶ ὁ Πτολεμαῖος ἐμαρτύρει, καὶ ἔλεγεν· ὦ ἀγαθὴ κεφαλὴ, καὶῶ μὲν ἐδεπώποτε ἐδενὶ γέγονας αἴτιος, πολλοῖς δὲ καὶ πολλὰ ἀγαθὰ πρυξένησας. ὁ μὲν ἵππευε σὺν τῷ βασιλεῖ τὸ μειράκιον· ἰδὼν δὲ πόρρωθεν ἀγομένες τινὰς ἐπὶ θανάτῳ, ἃ ῥαθύμως 1) εἶπεν, ἀλλ' ἔφη πρὸς τὸν Πτολεμαῖον, ὦ βασιλεῦ, ἐπεὶ κατά τινα δαίμονα τῶν ἀγομένων ἀγαθὸν, ἐπὶ ἵππῳ ἐτύχομεν ὄντες, φέρε, εἴ σοι δοκεῖ, τὴν ἔλασιν ἐπιτείναντες, καὶ συντονώτερον ἐπιδιώξαντες, Διόσκυροι τοῖς δειλαίοις γενώμεθα σωτῆρες ἔνθα καὶ ἀγαθοὶ παραφάται, τοῦτο δὴ τὸ λεγόμενον ἐπὶ τῶν θεῶν τούτων. ὁ δὲ ὑπερηθεὶς αὐτῷ τῇ χρησότητι, καὶ τὸ φιλοίκτιρμον ὑπερφιλήσας, καὶ ἐκείνῳ ἔσωσε, καὶ ἐπὶ πλέον προσέθηκε τὸ φίλτρον τῷ κατ' αὐτὸν ἔρωτος.

Κεφ.

1) εἶδεν.

Κεφ. λά.

Περσικὸς νόμος, περὶ τῷ δῶρα προσφέρειν τῷ βασιλεῖ.

Νόμος ἔστος Περσικὸς ἐν τοῖς μάλιστα ὑπ' αὐτῶν φυλατόμενος, ὅταν εἰς Πέρσας ἐλαύνῃ βασιλεὺς, πάντες αὐτῷ Πέρσαι κατὰ τὴν ἑαυτῷ δύναμιν ἕκαστος προσκομίζει, ἅτε δὴ ὄντες ἐν γεωργίᾳ, καὶ περὶ γῆν πονέμενοι, καὶ αὐτουργοὶ πεφυκότες, ἐδὲν τῶν ὑβρισμένων, ἐδὲ τῶν ἄγαν πολυτελῶν προσφέρουσιν, ἀλλ' ἢ βῶς, ἢ οἷς, 1) ἢ δὴ σῖτον καὶ οἶνον ἄλλοι. παρεζιόυλι δ' αὐτῷ, καὶ παρελαύνοντι, ταῦτα ὑπὸ ἑκάστῳ πρόκειται, καὶ ὀνομάζεται δῶρα, καὶ δοκεῖ τοῦτο. οἱ δὲ ἔτι τούτων ἐνδεέστεροι τὸν βίον, καὶ γάλα καὶ φοίνικας αὐτῷ καὶ τυρὸν προσφέρουσι, καὶ τρωκτὰ ὡραῖα, καὶ τὰς ἄλλας ἀπαρχὰς τῶν ἐπιχωρίων.

Κεφ. λβ'.

Περὶ δεδωρημένε ὕδατος τῷ Περσῶν βασιλεῖ.

Λόγος ἔν καὶ ἔτος Περσικός. φασὶν ἄνδρα Πέρσην, ᾧ ὄνομα ἦν Σινάϊτης, πόρρω τῆς ἐπαύλεως τῆς ἑαυτῷ ἐντυχεῖν Ἀρτα-

1) οἱ δὲ c.

Ἀρταξέρξῃ τῷ ἐπικαλεμένῳ Μνήμονι. ἀπολειφθέντα ἔν θορυβηθῆναι δέει τὸ νόμε καὶ αἰδοῖ τῆ Βασιλέως. ἐκ ἔχων δὲ ὅ, τι χρήσεται τῷ παρόντι, ἠτιμήθηναι τῶν ἄλλων Περσῶν μὴ φέρων, μηδὲ ἄτιμος δόξαι, τῷ μὴ δωροφορῆσαι Βασιλέα. ἀλλ' ἔτός γε πρὸς τὸν ποταμὸν τὸν πλησίον παραῤῥέοντα, ᾧ Κῦρος ὄνομα, ἐλθὼν σὺν σπεδῇ, καὶ ᾗ ποδῶν εἶχε μάλιστα, ἐπικύψας, ἀμφοτέραις ταῖς χερσὶν ἀρυσάμενος τῆ ὕδατος, Βασιλεῦ (φησὶν) Ἀρταξέρξη, δι' αἰῶνος βατιλεύοις! νῦν μὲν ἔν σε, ὅπη τε, καὶ ὅπως ἔχω, τιμῶ, ὡς ἂν μὴ ἀγέρασος, τὸ γῆν ἐμὸν, καὶ τὸ κατ' ἐμὲ, παρέλθης. τιμῶ δέ σε Κύρε πολαμῆ ὕδατι. ὅταν δὲ ἐπὶ τὸν ταθμὸν τὸν σὸν παραγένῃ, οἴκοθεν, ὡς ἔνι μάλιστα, ἑαυτῆ κράτιστα καὶ πολυτελέστατα χωρήσαιμι· ἕτω τιμήσω σε, καὶ δὴ ἀδὲν ἐλάττων γενοίμην τινὸς τῶν ἄλλων τῶν ἤδη σε δεξιωσαμένων τοῖς δώροις. ἐπὶ τέτοις ὁ Ἀρταξέρξης ἤδη, καὶ δέχομαι ἡδέως, (φησὶν) ἄνθρωπε, τὸ δῶρον, καὶ τιμῶ γε αὐτὸ τῶν πάνυ πολυτελῶν, καὶ ἰσοσάσιον ἐκείνοις λέγω. πρῶτον μὲν, ὅτι ὕδωρ ἐςὶ τὸ πάντων ἄριτον. δεύτερον δὲ, ὅτι Κύρε ὄνομα ἐν ἑαυτῷ φέρει. καὶ σὺ δέ μοι καταλύοντι ἐν τῷ ταθμῷ πάντως ἐπιφάνηθι. ταῦτα εἰπὼν προσέταξε τὲς εὐνέχες λαβεῖν τὸ ἐξ αὐτῆ δῶρον. οἱ δὲ τὴν ταχίτην προσδραμόντες, εἰς χρυσῆν φιάλην ἐδέξαντο ἐκ τῶν χειρῶν αὐτῆ τὸ ὕδωρ. ἐλθὼν δὲ ἔνθα καὶ ἔλυεν ὁ Βασιλεὺς, ἔπεμψε τῷ ἀνδρὶ τῷ Πέρσῃ τολὴν Περσικὴν, καὶ φιάλην χρυτῆν, καὶ χιλίες δαρεικὲς, καὶ προσέταξε τὸν κομίζοντα αὐτὰ εἰπεῖν τῷ λαμβάνοντι· κελεύει σε Βασιλεὺς, ἐκ μὲν τότε τῆ χρυσίε εὐφραίνειν τὴν σεαυτῆ ψυχὴν, ἐπεὶ καὶ σὺ τὴν ἐκείνε εὔφρανας, μὴ αὐτὸν ἀγέρασον, μηδὲ ἄτιμον ἐάσας, ἀλλ' ὡς ἤδη ἐχώρει, ταύτῃ τιμήσας. βέλεται δέ σε καὶ τῇ φιάλῃ ταύτῃ ἀρυόμενον, πίνειν ἐξ ἐκείνε τῆ ὕδατος.

Κεφ. λγ'.

Περὶ μεγάλης ῥοιᾶς τῷ αὐτῷ δεδωρημένης.

Ῥοιὰν ἐπὶ λίκνε μεγίτην ὁ Μίσης Ἀρταξέρξῃ τῷ Βασιλεῖ ἐλαύνοντι τὴν Περσίδα προσεκόμισε. τὸ μέγεθος ἔν αὐτῆς ὑπερεκπλαγεὶς ὁ Βασιλεὺς, ἐκ ποίε παραδείσε, φησὶ, λαβὼν φέρεις μοι τὸ δῶρον τῆτο; τῆ δὲ εἰπόντος, ὅτι οἴκοθεν, καὶ ἐκ τῆς

τῆς αὐτῆ γεωργίας, ὑπερήθη. καὶ δῶρα μὲν αὐτῷ βασιλικὰ ἔπεμψε, καὶ ἐπεῖπε, νὴ τὸν Μίθραν, ἀνὴρ ἔτος ἐκ τῆς ἐπιμελείας ταύτης δυνήσεται καὶ πόλιν, κατά γε τὴν ἐμὴν κρίσιν, ἐκ μικρᾶς μεγάλην ποιῆσαι. Ἔοικε δὲ ὁ λόγος ὁμολογεῖν ἔτος, ὅτι πάντα ἐκ τῆς ἐπιμελείας, καὶ τῆς διαρκοῦς φροντίδος, καὶ τῆς σπουδῆς τῆς ἀνελλιποῦς, καὶ τῶν κατὰ φύσιν δύναιτο ἂν κρείττονα γενέσθαι.

Κεφ. λδ'.

Περὶ πατρὸς υἱῷ θάνατον κατα-γινώσκεσθαι ζητοῦντος.

Ἀνὴρ γένει Μάρδος, ὄνομα Ῥακώκης, παῖδας εἶχεν ἑπτά. ἀλλὰ τέτων ὁ νεώτατος ἐκαλεῖτο Καρτώμης· κακὰ δὲ πολλὰ τὸς μάγος εἰργάζετο, καὶ τὰ μὲν πρῶτα ἐπειρᾶτο αὐτὸν ὁ πατὴρ παιδεύειν, καὶ ῥυθμίζειν λόγῳ. ἐπεὶ δὲ οὐκ ἐπειθέτο, τῶν δικαστῶν τῶν περιχώρων ἀφικομένων, ἔνθα ᾤκει ὁ τῷ νεανίσκῳ πατὴρ, ἀλλ' ἐκεῖνός γε συλλαβὼν τὸ παιδίον, καὶ τὼ χεῖρε ὀπίσω περιαγαγὼν αὐτῷ, πρὸς τὸς δικαστὰς ἤγαγε. καὶ ὅσα αὐτῷ τετόλμητο, πάντα ἀκριβῶς καθηγόρησε, καὶ ἤτει παρὰ τῶν

τῶν δικαστῶν, ἀποκτεῖναι τὸν νεανίσκον. οἱ δὲ ἐξεπλάγησαν, καὶ αὐτοὶ μὲν ἀφ' ἑαυτῶν οὐκ ἔκριναν τὴν καταδικάζουσαν ἀγαγεῖν ψῆφον· ἀμφοτέρους δὲ ἐπὶ τὸν βασιλέα τῶν Περσῶν τὸν Ἀρταξέρξην ἤγαγον. τὰ αὐτὰ δὲ λέγοντος τῷ Μάρδῳ, ὑπολαβὼν ὁ βασιλεὺς ἔφη, εἶτα τολμήσεις τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτοῦ τὸν υἱὸν ἀποθνήσκοντα ὑπομεῖναι; ὁ δὲ ἔφη, πάντων μάλιστα. ἐπεὶ καὶ ἐν τῷ κήπῳ, ὅταν τῶν φυομένων θριδακινῶν τὰς ἐκφύσεις τὰς πικρὰς ἀποκλῶ καὶ ἀφαιρῶ, οὐδὲν ἡ μήτηρ αὐτῶν ἡ θριδακίνη λυπεῖται, ἀλλὰ θάλλει μᾶλλον, καὶ μείζων καὶ γλυκίων γίνεται. ἅμα καὶ ἐγὼ, ὦ βασιλεῦ, τὸν βλάπτοντα τὴν ἐμὴν οἰκίαν, καὶ τὸν τῶν ἀδελφῶν βίον, εἶπε, θεωρῶν ἀποκλύμενον, καὶ τῆς κακεργίας τῆς εἰς αὐτὲς παυόμενον, καὶ αὐτὸς αὐξηθήσομαι, καὶ τοῖς λοιποῖς τοῖς κατὰ γένος συνέσομαι τὰ αὐτὰ ἐμοὶ εὖ πάσχουσιν. ὧν ἀκούσας Ἀρταξέρξης ἐπήνεσε μὲν τὸν Ῥακώκην, καὶ τῶν βασιλικῶν δικαστῶν ἐποίησεν ἕνα, εἰπὼν πρὸς τὲς παρόντας, ὅτι ὁ περὶ τῶν ἰδίων παίδων ἕτω δικαίως ἀποφαινόμενος, πάντως καὶ ἐν τοῖς ἀλλοτρίοις ἀκριβὴς ἔσται δικαστὴς, καὶ ἀδέκαστος.

ἀφῆκε δὲ καὶ τὸν νεανίαν τῆς παρέσης τιμωρίας, ἀπειλῶν αὐτῷ θανάτῳ τρόπον βαρύτατον, ἐὰν ἐπὶ τοῖς φθάσασιν ἀδικῶν φωραθῇ ἕτερα.

❖ ❖ ❖ ❖ ❖ ❖ ❖ ❖ ❖ ❖ ❖ ❖ ❖

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Κεφάλαιον α'.

Πῶς ὁ Σωκράτης ἐθάρσυνε τὸν Ἀλκιβιάδην, ὥσε μηκέτι μᾶλλον τῷ πρέποντος εὐλαβεῖσθαι τὸν δῆμον.

Καὶ ταῦτα Σωκράτης πρὸς Ἀλκιβιάδην. ὁ μὲν ἠγωνία, καὶ ἐδεδίει πάνυ σφόδρα εἰς τὸν δῆμον παρελθεῖν τὸ μειράκιον. ἐπιθαρσύνων δὲ αὐτὸν, καὶ ἐγείρων ὁ Σωκράτης, ἃ καλαφρονεῖς (ἔπεν) ἐκείνῳ τῷ σκυτοτόμῳ; τὸ ὄνομα εἰπὼν αὐτῷ. φήσαντος δὲ τοῦ Ἀλκιβιάδου, ὑπολαβὼν πάλιν ὁ Σωκράτης, ἔτι δὲ ἐκείνῳ τῷ ἐν τοῖς

τοῖς κύκλοις κηρύττοντος; ἢ ἐκείνῳ τῷ σκηνορράφῳ; ὁμολογοῦντος δὲ τοῦ Κλεινίου μειρακίου, ἐκεῖνο, ἔφη ὁ Σωκράτης, ὁ δῆμος ὁ Ἀθηναίων ἐκ τοιούτων ἤθροισαι; καὶ εἰ τῶν καθ' ἕνα καταφρονεῖς, καλαφρονητέον ἄρα καὶ τῶν ἠθροισμένων. μεγαλοφρόνως ταῦτα ὁ τοῦ Σωφρονίσκου καὶ τῆς Φαιναρέτης, τὸν τοῦ Κλεινίου καὶ τῆς Δεινομάχης διδάσκων.

Κεφ. β'.

Περὶ γραφῶν ἐπαινουμένων κακῶς.

Μεγαβύζου ποτὲ ἐπαινέντος γραφὰς εὐτελεῖς καὶ ἀτέχνους, ἑτέρας δὲ σπουδαίως ἐκπεπονημένας διαψέγοντος, τὰ παιδάρια τὰ τοῦ Ζεύξιδος τὴν μηλίδα τρίζοντα κατεγέλα. ὁ τοίνυν Ζεῦξις ἔφατο, ὅταν μὲν σιωπᾷς, ὦ Μεγάβυζε, θαυμάζει σε τὰ παιδάρια ταῦτα. ὁρᾷ γάρ σε τὴν ἐσθῆτα καὶ τὴν θεραπείαν, τὴν περὶ σε. ὅταν γε μὴν τεχνικόν τι θέλεις εἰπεῖν, καταφρονεῖ σε. φύλαττε τοίνυν σεαυτὸν εἰς τοὺς ἐπαινουμένους, κρατῶν τῆς γλώσσης, καὶ ὑπὲρ μηδενὸς τῶν μηδέν σοι προσηκόντων φιλοτεχνῶν.

Κεφ. γ'.

Περὶ Ἀλεξάνδρου ὃν ἐπαινέσαντος εἰκόνα κατὰ τὴν ἀξίαν.

Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ, τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν, ὃν ἐπήνεσε κατὰ τὴν ἀξίαν τοῦ γράμματος. εἰσαχθέντος δὲ τοῦ ἵππου, καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι, ὡς πρὸς ἀληθινὸν καὶ ἐκεῖνον, ὦ βασιλεῦ, (εἶπεν ὁ Ἀπελλῆς,) ἀλλ' ὅγε ἵππος ἔοικέ σου γραφικώτερος εἶναι κατὰ πολύ.

Κεφ. δ'.

Περὶ ἔρωτος Χαρίτωνος καὶ Μελανίππου, καὶ τυράννου, εἰς αὐτὸν συμπαθείας.

Φαλάριδος ὑμῖν ἔργον ὃ μάλα ἐκείνῳ σύνηθες εἰπεῖν ἐθέλω. τὸ δὲ ἔργον φιλανθρωπίαν ἄμαχον ὁμολογεῖ, καὶ διὰ τοῦτο ἀλλότριον ἐκείνου δοκεῖ. Χαρίτων ἦν Ἀκραγαντῖνος, φιλόκαλος ἄνθρωπος, καὶ περὶ τὴν ὥραν τὴν τῶν νέων ἐσπουδακὼς δαιμονίως. διαπύρως δὲ ἠράσθη μάλιστα Μελανίππου τοῦ Ἀκραγαντίνου καὶ ἐκείνου, καὶ τὴν ψυχὴν ἀγαθὸν, καὶ τὸ κάλλος διαφέροντος. Τοῦτον ἐλύπησέ τι Φάλαρις τὸν Μελάνιππον. δικαζομένῳ γὰρ αὐτῷ πρός τινα τῶν ἑταίρων αὐτοῦ τοῦ Φαλάριδος, προσέταξεν ὁ τύραννος τὴν γραφὴν καθαθεῖναι. τοῦ δὲ μὴ πειθομένου, ὅδε ἠπείλησε τὰ ἔσχατα δράσειν αὐτὸν μὴ ὑπακούσαντα. καὶ ἐκεῖνος μὲν παρὰ τὴν δίκην ἐκράτησε τοῦ ἀνάγκῃ προστάξαντος, τοῦ Φαλάριδος δὲ οἱ ἄρχοντες τὴν γραφὴν τοῦ ἀγῶνος ἠφάνισαν. βαρέως δ' ἐπὶ τούτοις ὁ νεανίσκος ἤνεγκεν, ὑβρίσθαι λέγων, καὶ ὡμολόγει τὴν ὀργὴν τὴν ἑαυτοῦ πρὸς τὸν ἐρασὴν ὁ Μελάνιππος, καὶ ἠξίου κοινωνὸν αὐτὸν γενέσθαι τῆς ἐπιθέσεως τῆς κατ' αὐτοῦ, καὶ ἄλλως δὲ ἔσπευδε προσλαβεῖν τῶν νεανίσκων, ὃς μάλιστα ἤδει περὶ τὴν τοιαύτην πρᾶξιν θερμοτάτως. ὁρῶν δὲ αὐτὸν ὁ Χαρίτων ἐνθυσιῶντα, καὶ ὑπὸ τῆς ὀργῆς ἀναφλεγόμενον, καὶ γινώσκων, ὅτι τῶν πολιτῶν ὀδεὶς αὐτοῖς συλλήψεται, δέει τῷ ἐκ τοῦ τυράννου, καὶ αὐτὸς ἔφη πάλαι τοῦτο ἐπιθυμεῖν, καὶ σπεύδειν ἐκ παντὸς, τὴν πατρίδα ῥύσασθαι τῆς δουλείας τῆς καταλαβέσης. ὀσφαλὲς δὲ μὴ εἶναι πρὸς πολλοὺς τὰ τοιαῦτα ἐκφέρειν. ἠξίου δὲ τὸν Μελάνιππον οἱ συγχωρῆσαι ὑπὲρ τούτων

ἀκριβέστερον διασκέψασθαι, καὶ ἐᾶσαι παραφυλάξαι τὸν χρόνον τὸν ἐπιτήδειον εἰς τὴν πρᾶξιν. συνεχώρησε τὸ μειράκιον. ἐφ' ἑαυτῷ τοίνυν ὁ Χαρίτων βαλλόμενος τὸ πᾶν τόλμημα, καὶ κοινωνὸν αὐτῷ μὴ θελήσας παραλαβεῖν τὸν ἐρώμενον, ἵν' εἰ καλαφωραθείς, αὐτὸς ὑπέχοι τὴν δίκην, ἀλλὰ μὴ καὶ ἐκεῖνον εἰς τὰ αὐτὰ ἐμβάλοι. ἠνίκα ἔν ἐδόκει καλῶς ἔχειν, ἐγχειρίδιον λαβὼν, ὡρμᾶτο ἐπὶ τὸν τύραννον. ὁ μὴν ἔλαθε, κατεφωράθη δὲ, πάνυ σφόδρα τῶν δορυφόρων ἀκριβῶς τὰ τοιαῦτα φυλαττόντων. ἐμβληθεὶς δὲ ὑπὸ τῷ Φαλάριδος εἰς τὸ δεσμωτήριον, καὶ σφεβλόμενος, ἵν' εἴπῃ τοὺς συνεγνωκότας, ὁ δὲ ἐνεκαρτέρει καὶ ἐνήθλει ταῖς βασάνοις. ἐπεὶ δὲ μακρὸν τοῦτο ἦν, ὁ Μελάνιππος ἦκεν ἐπὶ τὸν Φάλαριν, καὶ ὡμολόγησεν ὁ μόνον κοινωνὸς εἶναι τῷ Χαρίτωνι τῆς βουλῆς, ἀλλὰ καὶ αὐτὸς ἄρξαι τῆς ἐπιβουλῆς. τῷ δὲ πυνθανομένῳ τὴν αἰτίαν, εἶπε τὸν ἐξ ἀρχῆς λόγον, καὶ τὴν τῆς γραφῆς ἄρσιν, καὶ ἐπὶ τούτοις ὡμολόγει περιαλγῆσαι. θαυμάσας ἔν, ἀμφοτέρους ἀφῆκε τῆς τιμωρίας, προστάξας αὐθημερὸν ἀπελθεῖν, μὴ μόνον τῆς Ἀκραγαντίνων πόλεως, ἀλλὰ καὶ τῆς Σικελίας·

κελίας· συνεχώρησε δὲ αὐτοῖς τὰ ἴδια δίκαια καρπῶσθαι. τοῦτος ὕστερον ἡ Πυθία, καὶ τὴν φιλίαν αὐτῶν ὕμνησε, διὰ τούτων τῶν ἐπῶν·

Θείας ἡγητῆρες ἐφημερίοις φιλότητος,
Εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ.

τῷ θεῷ τὸν ἔρωτα αὐτῶν θείαν ὀνομάσαντος φιλίαν.

Κεφ. ε'.

Περὶ χρόνου ταμιεύσεως, καὶ τοῦ μὴ ἐᾶσαι Λακεδαιμονίους περιπατεῖν.

Λακεδαιμόνιοι δεινὴν ἐποιοῦντο τὸ χρόνου τὴν φειδὼ, ταμιευόμενοι πανταχόθεν αὐτὸν εἰς τὰ ἐπιγόμενα, καὶ μηδενὶ τῶν πολιτῶν ἐπιτρέποντες, μήτε ῥᾳδιουργεῖν, μήτε ῥᾳθυμεῖν εἰς αὐτόν. ὡς ἂν μὴ πρὸς τὰ ἔξω τῆς ἀρετῆς ἀναλισκόμενος, εἶτα μάτην διαφθείροιτο. μαρτύριον τούτου πρὸς τοῖς ἄλλοις καὶ τόδε. ἀκέσαντες οἱ ἔφοροι Λακεδαιμονίων, τὸν Δεκέλειαν καταλαβόντα περιπάτῳ χρῆσθαι δεινῶς, ἐπέστειλαν αὐτοῖς, μὴ περιπατεῖτε· ὡς τρυφῶντων αὐτῶν μᾶλλον, ἢ τὸ σῶμα ἐκ-

πονέντων. δεῖν γὰρ Λακεδαιμονίους ὑπὲρ τῆς περιπάτου, ἀλλὰ διὰ τῶν γυμνασίων τὴν ὑγείαν περιζέσθαι.

Κεφ. ε'.

Παράδειγμα, ὅτι ὑπὲρ δεῖ τοῖς πολλοῖς ἀρέσκειν.

Ἱππόμαχος, φασὶν, ὁ γυμναστὴς, ἐπεὶ 1) παλαίσματι ὁ ἀθλητὴς, ὁ ὑπ' αὐτῷ γυμναζόμενος ἐπάλαισεν, εἶτα ὁ πᾶς ὄχλος ὁ περιεστὼς ἐξεβόησε, καθίκετο αὐτοῦ τῇ ῥάβδῳ ὁ Ἱππόμαχος, καὶ εἶπεν· ἀλλὰ σύγε κακῶς, καὶ οὐχ ὡς ἐχρῆν ἐποίησας, ὅπερ ἐχρῆν ἄμεινον γενέσθαι. ὑπὲρ γὰρ ἂν ἐπήνεσαν ἅτοι τεχνικόν σε δράσαντά τι. αἰνιττόμενος, ὅτι τοὺς εὖ καὶ καλῶς ἕκαστα δρῶντας, ὑπὲρ τοῖς πολλοῖς, ἀλλὰ τοῖς ἔχουσι νοῦν θεωρητικὸν τῶν δρωμένων, ἀρέσκειν δεῖ. ἔοικε δὲ καὶ Σωκράτης τὴν τῶν πολλῶν ἐκφαυλίζειν κρίσιν ἐν τῇ συνουσίᾳ τῇ πρὸς Κρίτωνα, ὅτε ἀφίκετο ὁ Κρίτων εἰς τὸ δεσμωτήριον, καὶ δὴ ἔπειθεν αὐτὸν ἀποδρᾶναι, καὶ τὴν τῶν Ἀθηναίων τὴν κατ' αὐτοῦ κρίσιν διαφθεῖραι.

Κεφ.

1) πάλαισμά τι.

Κεφ. ς'.

Περὶ τοῦ μὴ ἐκθεῖναι βρέφη Θηβαίους.

Νόμος ἦτος Θηβαϊκὸς, ὀρθῶς ἅμα καὶ φιλανθρώπως κείμενος ἐν τοῖς μάλιστα· ὅτι οὐκ ἔξεστιν ἀνδρὶ Θηβαίῳ ἐκθεῖναι παιδίον, οὐδὲ εἰς ἐρημίαν αὐτὸ ῥίψαι, θάνατον αὐτοῦ καταψηφισάμενος. ἀλλ' ἐὰν ἡ πένης εἰς τὰ ἔσχατα ὁ τοῦ παιδὸς πατὴρ, εἴτε ἄρρεν τοῦτο, εἴτε θῆλύ ἐστιν, ἐπὶ τὰς ἀρχὰς κομίζειν ἐξ ὠδίνων τῶν μητρῴων σὺν τοῖς σπαργάνοις αὐτό. αἱ δὲ παραλαβοῦσαι, ἀποδίδονται τὸ βρέφος τῷ τιμὴν ἐλαχίστην δόντι· ῥήτρα τε πρὸς αὐτὸν, καὶ ὁμολογία γίνεται, ἢ μὴν τρέφειν τὸ βρέφος, καὶ αὐξηθὲν ἔχειν δοῦλον, ἢ δούλην, θρεπτήρια αὐτοῦ τὴν ὑπηρεσίαν λαμβάνοντα.

Κεφ. ζ'.

Περὶ Ξενοκλέους καὶ Εὐριπίδου ἐν Ὀλυμπίᾳ ἀγωνισαμένων.

Καλὰ τὴν πρώτην καὶ 1) ἕκτην Ὀλυμπιάδα, καθ' ἣν ἐνίκα Ἐξαίνετος ὁ Ἀκραγαντῖνος σάδιον, ἀντηγωνίσαντο ἀλλήλοις

1) ἐννενηκοστήν.

Ξενοκλῆς καὶ Εὐριπίδης. καὶ πρῶτός γε ἦν Ξενοκλῆς, ὅς τίς ποτε ἔτός ἐσιν, Οἰδίποδι, καὶ Λυκάονι, καὶ Βάκχαις, καὶ Ἀθάμαντι Σατυρικῷ. τέτε δεύτερος Εὐριπίδης ἦν, Ἀλεξάνδρῳ, καὶ Παλαμήδη, καὶ Τρωσὶ, καὶ Σισύφῳ Σατυρικῷ. γελοῖον δὲ, ἀγὰρ Ξενοκλέα μὲν ἡτ̃ᾶθαι, Εὐριπίδην δὲ νικᾶν, καὶ ταῦτα τοιέτοις δράμασι. τῶν δύο τοίνυν τὸ ἕτερον, ἢ ἀνόητοι ἦσαν οἱ τῆς ψήφε κύριοι, καὶ ἀμαθεῖς, καὶ πόρρω κρίσεως ὀρθῆς, ἢ ἐδεκάδησαν. ἄτοπον δὲ ἑκάτερον, καὶ Ἀθηναίων ἥκισα ἄξιον.

Κεφ. Θ'.

Περί τινων ἀποσατῶν, Ἀθηναίων ψηφίσματα.

Οἷα ἐψηφίσαντο Ἀθηναῖοι, καὶ ταῦτα ἐν δημοκρατίᾳ; Αἰγινητῶν μὲν ἑκάσε τὸν μέγαν ἀποκόψαι τῆς χειρὸς δάκτυλον τῆς δεξιᾶς, ἵνα δόρυ μὲν βασάζειν μὴ δύνωνται, κώπην δὲ ἐλαύνειν δύνωνται. Μιτυληναίες δὲ ἡδηδὸν ἀποσφάξαι. καὶ τᾶτο ἐψηφίσαντο, εἰσηγησαμένε Κλέωνος τᾶ Κλεαινέτε. τές γε μὴν ἁλισκομένες αἰχμαλώτες Σαμίων σίζειν κατὰ τᾶ προσώπε, καὶ εἶναι τὸ σίγμα γλαῦκα, καὶ τᾶτο

τὸ Ἀτλικὸν ψήφισμα. ἃ ἐβελόμην δὲ αὐτὰ, ἅτε Ἀθήναισι κεκυρῶθαι, ἅτε ὑπὲρ Ἀθηναίων λέγεθαι, ὦ Πολιὰς Ἀθηνᾶ, καὶ Ἐλευθέριε Ζεῦ, καὶ οἱ Ἑλλήνων θεοὶ πάντες.

Κεφ. ι.

Τιμόθεος Πλάτωνος διαλεγομένε ἀκέσας, ἥτ̃ον εὐδαίμονα ἑαυτὸν ἔκρινεν.

Τιμόθεον ἀκέω τὸν Κόνωνος, τὸν Ἀθηναίων σρατηγὸν, ὅτε ἐν ἀκμῇ τῆς εὐτυχίας ἦν, καὶ ἤρει τὰς πόλεις ῥᾳ̃ξα, καὶ ἃς εἶχον Ἀθηναῖοι, ὅποι ποτὲ αὐτὸν καταθωνται ὑπὸ θαύματος τᾶ περὶ τὸν ἄνδρα. ἀλλὰ τᾶτόν γε Πλάτωνι τῷ Ἀρίσωνος περιτυχόντα, βαδίζοντι ἔξω τᾶ τείχες μετά τινων γνωρίμων, καὶ ἰδόντα σεμνὸν μὲν ἰδεῖν τὸ πλάτος, ἴλεων δὲ τῷ προσώπῳ, διαλεγόμενον δὲ ἐχὶ περὶ εἰσφορᾶς χρημάτων, ἐδὲ ὑπὲρ τριήρων, ἐδὲ ὑπὲρ ναυτικῶν χρειῶν, ἐδὲ ὑπὲρ πληρωμάτων, ἐδὲ ὑπὲρ τᾶ δεῖν βοηθεῖν, ἐδὲ ὑπὲρ φόρε τᾶ τῶν συμμάχων, ἐδὲ ὑπὲρ τῶν νησιωτῶν, ἢ ὑπὲρ ἄλλε τινὸς τοιέτε φλυαρίε. ὑπὲρ ἐκείνων δὲ, ὧν ἔλεγε Πλάτων, καὶ ὑπὲρ ὧν εἴθισο

σπεδάζειν, ἐπισάλλα τὸν Τιμόθεον τὸν τῦ Κόνωνος, εἰπεῖν· ὦ τῦ βίε, καὶ τῆς ὄντως εὐδαιμονίας. ἐκ τέτων ἦν δῆλον, ὡς ἑαυτὸν ἅπανυ τι εὐδαίμονα ἀπέφαινεν ὁ Τιμόθεος, ὅτι μὴ ἐν τέτοις, ἀλλ' ἐν τῇ παρ' Ἀθηναίων δόξῃ καὶ τιμῇ ἦν.

Κεφ. ιά.

Περὶ τῶν ῥηθέντων ὑπὸ Σωκράτες περὶ τῶν ὑπὸ τῶν τριάκοντα σφαττομένων.

Σωκράτης ἰδὼν κατὰ τὴν ἀρχὴν τῶν τριάκοντα τὲς ἐνδόξες ἀναιρεμένες, καὶ βαρύτατα τὲς πλετῦντας ὑπὸ τῶν τυράννων ἐπιβελευομένες, Ἀντιθέτει φασὶ περιτυχόντα εἰπεῖν· μή τί σοι μεταμέλει, ὅτι μέγα καὶ σεμνὸν ἄδην ἐγενόμεθα ἐν τῷ βίῳ, καὶ τοιῦτοι, οἵες ἐν τῇ τραγῳδίᾳ τὲς μονάρχας ὁρῶμεν, Ἀτρέας τε ἐκείνες καὶ Θυέσας, καὶ Ἀγαμέμνονας, καὶ Αἰγίσθες. ἦτοι μὲν γὰρ ἀποσφαττόμενοι, καὶ ἐκλεαγῳδέμενοι, καὶ πονηρὰ δεῖπνα δειπνῦντες, καὶ ἐσθίοντες ἑκάστοτε ἐκκαλύπτονται. ἀδεὶς δὲ ἔτως ἐγένετο τολμηρὸς, ἀδὲ ἀναίσχυντος τραγῳδίας ποιητὴς, ὥστε εἰσαγαγεῖν εἰς δρᾶμα ἀποσφαττόμενον χοῖρον. Κεφ.

Κεφ. ιβ'.

Περὶ Θεμιστοκλέες παυσαμένε τῆς ἀσωτίας.

Θεμιστοκλέες τῦ Νεοκλέες, ἐκ οἶδα εἰ ἐπαινεῖν χρὴ τῦτο. ἐπεὶ γὰρ τῆς ἀσωτίας ἐπαύσατο Θεμιστοκλῆς, ἀπεκηρυχθεὶς ὑπὸ τῦ πατρὸς, καὶ ὑπήρχετό πως τῦ σωφρονεῖν, καὶ τῶν μὲν ἑταιρῶν ἀπέση, ἤρα δὲ ἔρωτα ἕτερον, τὸν τῆς πολιτείας τῶν Ἀθηναίων, καὶ θερμότατα ἐπεχείρει ταῖς ἀρχαῖς, καὶ ἑαυτὸν ἔσπευδεν εἶναι πρῶτον· ἔλεγέ (φασι) πρὸς τὲς γνωρίμες· τί δ' ἂν ἐμοὶ δοίητε, ὃς ἔπω φθονῦμαι; ὅς τις δὲ ἁλῷ φθονεῖσθαι, τῦτο δήπε τὸ τῦ Εὐριπίδε [1]) περιβλάπτεσθαι σπεύδει. ὅτι δὲ τῦτ' ἔστι κενὸν, ὁ αὐτὸς Εὐριπίδης φησί.

Κεφ. ιγ'.

Περὶ Σωκράτες κωμωδεμένε ὑπὸ Ἀριστοφάνες.

Ἐπετίθεντο τῷ Σωκράτει, καὶ ἐπεβύλευον, οἱ ἀμφὶ τὸν Ἄνυτον, ὧν χάριν, καὶ δι' ἃς αἰτίας, λέλεκται πάλαι. ὑφορῶμενοι δὲ τὲς Ἀθηναίες, καὶ δεδιότες, ὅπως ποτὲ ἔξεσι πρὸς τὴν κατηγορίαν τῦ

1) περιβλέπεσθαι.

ἀνδρός. πολὺ γὰρ ἦν τὸ τῦ Σωκράτες ὄνομα, διά τε τὰ ἄλλα, καὶ ὅτι τὰς σοφιςὰς ἤλεγχεν, ἀδὲν ὑγιὲς ὄντας, ἀδέ τι σπεδαῖον ἢ εἰδότας ἢ λέγοντας. ἐκ τέτων ἦν ἐβλήθησαν πεῖραν καταθεῖναι ὑπὲρ τῆς κατ' αὐτῦ διαβολῆς. τὸ μὲν γὰρ ἔντικρυς ἀπενέγκασθαι γραφὴν κατ' αὐτῦ παρανομίας, ἐκ ἐδωκίμαζον δι' ἃ πρόειπον, καὶ δι' ἐκεῖνα δὲ, μή ποτε ἄρα ἀγριάναντες οἱ φίλοι οἱ τῦ Σωκράτες ἐξάψωσι κατ' αὐτῶν τὰς δικασὰς, εἶτά τι πάθωσι κακὸν ἀνήκεσον, ἅτε συκοφαντῦντες ἄνδρα, ὃς μόνον ἀδενὸς αἴτιον κακῦ τῇ πόλει, ἐκ δὲ τῶν ἐναντίων καὶ κόσμον ταῖς Ἀθήναις ὄντα. τί ἦν ἐπινοῦσιν; Ἀριςοφάνην τὸν τῆς κωμῳδίας ποιητὴν, βωμολόχον ἄνδρα καὶ γελοῖον ὄντα, καὶ εἶναι σπεύδοντα, ἀναπείθσι κωμῳδῆσαι τὸν Σωκράτη ταῦτα δήπε τὰ περιφερόμενα. ὡς ἦν ἀδολέχης, λέγων τε αὖ καὶ τὸν ἥτλω λόγον ἀπέφαινε κρείτονα, καὶ ἐσῆγε ξένυς δαίμονας, καὶ ἐκ ἤδει θεὺς, ἀδ' ἐτίμα. τὰ δὲ αὐτὰ ταῦτα, καὶ τὰς προσιόντας αὐτῷ ἐδίδασκέ τε, καὶ εἰδέναι ἀνέπειθεν. ὁ δὲ Ἀριςοφάνης λαβόμενος ὑποθέσεως εὖ μάλα ἀνδρικῆς, ὑποσπείρας γέλωτα, καὶ τὸ ἐκ τῶν

τῶν μέτρων αἰμύλον, καὶ τὸν ἄριςον τῶν Ἑλλήνων λαβὼν ὑπόθσιν· ἃ γὰρ οἱ κατὰ 1) Κλέωνα ἦν τὸ δρᾶμα, ἀδὲ ἐκωμῴδει Λακεδαιμονίυς, ἢ Θηβαίυς, ἢ Περικλέα αὐτόν· ἀλλ' ἄνδρα τοῖς τε ἄλλοις θεοῖς φίλον, καὶ δὴ καὶ μάλιςα τῷ Ἀπόλλωνι. ἅτε ἓν ἄηθες πρᾶγμα καὶ ὅραμα παράδοξον ἐν σκηνῇ καὶ κωμῳδίᾳ Σωκράτης, πρῶτον μὲν ἐξέπληξεν ἡ κωμῳδία τῷ ἀδοκήτῳ τὰς Ἀθηναίας. εἶτα δὲ καὶ φύσει φθονερὰς ὄντας, καὶ τοῖς ἀρίςοις βασκαίνειν προαιρεμένυς, ἃ μόνον τοῖς ἐν τῇ πολιτείᾳ, καὶ ταῖς ἀρχαῖς, ἀλλ' ἔτι καὶ πλέον τοῖς εὐδοκιμῦσιν, ἢ ἐν λόγοις ἀγαθοῖς, ἢ ἐν βίῳ σεμνότηλι, 2) ἄκεσμα ἔδοξεν ἥδιςον αἴδε αἱ Νεφέλαι, καὶ ἐρότων τὸν ποιητὴν ὡς ὅποτε ἄλλοτε, καὶ ἐβόων νικᾶν, καὶ προσέταλον τοῖς κριταῖς ἄνωθεν Ἀριςοφάνην, ἀλλὰ μὴ ἄλλον, γράφειν. καὶ τὰ μὲν τῦ δράματος τοιαῦτα. ὁ δὲ Σωκράτης σπάνιον μὲν ἐπεφοίτα τοῖς θεατροις, εἴποτε δὲ Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητὴς ἠγωνίζετο καινοῖς τραγῳδοῖς, τότε γε ἀφικνεῖτο. καὶ Περραιοῖ δὲ ἀγωνιζομένῳ τῦ Εὐριπίδῃ καὶ ἐκεῖ κατῆει. ἔχαιρε γὰρ τῷ ἀνδρὶ, δηλονότι διά τε τὴν σοφίαν αὐτῦ καὶ τὴν ἐν τοῖς μέτροις

1) Κλέωνος. 2) ὡς.

μέτροις ἀρεσθήν. ἤδη δὲ πόλε αὐτὸν ἐρεχθεῶν Ἀλκιβιάδης ὁ 1) Κλινίε, ἢ Κρίτιας ὁ Καλλαίχρε, καὶ κωμῳδῶν ἀπῆσαν παρελθόντα εἰς τὸ θέατρον ἐξεβιάσαντο. ὁ δὲ αὐτοῖς ὐκ ἠρέσκετο, ἀλλὰ δεινῶς κατεφρόνει (ἄτε ἀνὴρ σώφρων, καὶ δίκαιος, καὶ ἀγαθὸς, καὶ ἐπὶ τέτοις σοφὸς) ἀνδρῶν κερτόμων, καὶ ὑβριστῶν, καὶ ὑγιὲς λεγόντων ὐδέν. ἅπερ ἐλύπει δεινῶς αὐτές. καὶ ταῦτα ἦν τῆς κωμῳδίας ἦν αὐτῷ τὰ σπέρματα, ἀλλ' ὐ μόνον ἀ παρὰ τῷ Ἀνύτε καὶ Μελίτε ὠμολόγηται. εἰκὸς δὲ καὶ χρηματίσαθαι ὑπὲρ τέτων Ἀριστοφάνην. καὶ γὰρ βελομένων, μᾶλλον δὲ ἐκ παντὸς συκοφαντῆσαι τὸν Σωκράτην σπευδόντων ἐκείνων, καὶ αὐτὸν δὲ πένητα ἅμα καὶ κατάρατον ὄντα, τί παράδοξον ἦν, ἀργύριον λαβεῖν ἐπ' ὐδενὶ ὑγιεῖ; καὶ ὑπὲρ μὲν τέτων αὐτὸς οἶδεν. εὐδοκίμει δ' ἦν αὐτῷ τὸ δρᾶμα. καὶ γάρ τοι καὶ τὸ τῷ Κρατίνε, τῶτο συνέβη εἰπεῖν ἄλλοτε, καὶ τότε, τῷ θεάτρῳ νοσήσαι τὰς φρένας. καὶ ἅτε ὄντων Διονυσίων, πάμπολύ τι χρῆμα τῶν Ἑλλήνων σπεδῇ τῆς θέας ἀφίκετο. περιφερομένε τοίνυν ἐν τῇ σκηνῇ τῷ Σωκράτε, καὶ ὀνομαζομένε πολλάκις, ὐκ ἂν δὲ θαυμάσαιμι, εἰ καὶ βλεπομένε

1) Κλεινίε.

πομένε ἐν τοῖς ὑποκριταῖς. (δῆλα γὰρ δὴ, ὅτι καὶ οἱ σκευοποιοὶ ἔπλασαν αὐτὸν, ὡς ὅτι 1) κάλλισα ἐξεικάσαιλες·) ἀλλ' οὖγε ξένοι, τὸν γὰρ κωμῳδέμενον ἠγνόεν, θρῆς παρ' αὐτῶν ἐπανίσαται, καὶ ἐζήτεν, ὅς τίς πόλε ἔτος ὁ Σωκράτης ἐσίν. ὑπερθὺν ἐκεῖνος αἰθόμενος (καὶ γάρ τοι καὶ παρῆν ὐκ ἄλλως, ὐδὲ ἐκ τύχης, εἰδὼς δὲ, ὅτι κωμῳδῶσιν αὐτόν. καὶ δὴ καὶ ἐν καλῷ τῷ θεάτρε ἐκάθητο.) ἵνα δὴ λύσῃ τὴν τῶν ξένων ἀπορίαν, ἐξαναστὰς, παρ' ὅλον τὸ δρᾶμα, ἀγωνιζομένων τῶν ὑποκριτῶν, ἑστὼς ἐβλέπετο. τοσῶτον ἄρα περιῆν τῷ Σωκράτει τῆς κωμῳδίας, καὶ Ἀθηναίων καταφρονεῖν.

Κεφ. ιδ'.

Περὶ πλατάνε ὑπὸ τῷ Ξέρξε ἐρωμένης.

Γελοῖος ἐκεῖνος ὁ Ξέρξης ἦν, εἴγε θαλάσσης μὲν καὶ γῆς κατεφρόνει τῆς Διὸς τέχνης, ἑαυτῷ δὲ εἰργάζετο καινὰς ὁδὲς καὶ πλῶν ἀπῆν, δεδώλωτο δὲ πλατάνῳ, καὶ ἐθαύμαζε τὸ δένδρον. ἐν Λυδίᾳ γῶν, φασὶν, ἰδὼν φυτὸν εὐμέγεθες πλατάνε, καὶ τὴν ἡμέραν ἐκείνην κατέμεινεν, ὐδέν τι δεό-

1) μάλισα.

δεόμενος, καὶ ἐχρήσαλο σαθμῷ τῇ ἐρημίᾳ, τῇ περὶ τὴν πλάτανον. ἀλλὰ καὶ ἐξῆψεν αὐτῆς κόσμον πολυτελῆ, σρεπτοῖς καὶ ψελλίοις τιμῶν τὰς κλάδας, καὶ μελεδωνὸν αὐτῇ κατέλιπεν, ὥσπερ ἐρωμένῃ Φύλακα, καὶ Φρερόν· ἐκ δὲ τούτων τί τῷ δένδρῳ καλὸν ἀπήντησεν; ὁ μὲν γὰρ κόσμος ὁ ἐπίκτητος, καὶ μηδὲν αὐτῷ προσήκων, ἄλλως ἐκρέματο, καὶ συνεμάχετο εἰς ὥραν ἀδέη. ἐπεὶ τῷ Φυτῷ κάλλος ἐκεῖνό ἐσιν, εὐγενεῖς οἱ κλάδοι, καὶ ἡ κόμη πολλὴ, καὶ σκιερὸν τὸ πρέμνον, καὶ αἱ ῥίζαι ἐν βάθει, καὶ διασείοντες οἱ ἄνεμοι, καὶ ἀμφιλαφὴς ἡ ἐξ 1) αὐτῆς σκιὰ, καὶ ἀναζεφθσαι αἱ ὧραι, καὶ ὕδωρ τὸ μὲν διὰ τῶν ὀχετῶν ἐτρέφον, τὸ δὲ ἐξ ἀρανῆ ἐπάρδον. χλαμύδες δὲ αἱ Περξε, καὶ χρυσὸς ὁ τῆ βαρβάρῳ, καὶ τὰ ἄλλα δῶρα, ὅτε πρὸς τὴν πλάτανον, ὅτε πρὸς ἄλλο δένδρον εὐγενὲς ἦν.

Κεφ. ιέ.

Περὶ τῶν τὰς τῶν ἐφόρων θρόνας ἀσβόλῳ χρισαμένων.

Κλαζομενίων τινὲς εἰς τὴν Σπάρτην ἀφικόμενοι, καὶ ὕβρει καὶ ἀλαζονείᾳ χρώ-

1) αὐτῆς.

μενοι, τὰς τῶν ἐφόρων θρόνας, ἔνθα εἰώθασι καθήμενοι χρηματίζειν, καὶ τῶν πολιτικῶν ἔκπυσα διατάτ[illegible]ειν, ἀλλὰ τότε γε τὰς θρόνας ἀσβόλῳ κατέχρισαν. μαθόντες δὲ οἱ ἔφοροι, ἠγανάκτησαν, ἀλλὰ τὸν δημόσιον κήρυκα καλέσαντες, προσέταξαν αὐτὸν δημοσίᾳ κηρύξαι, τοῦτο δὴ τὸ θαυμαζόμενον· ἐξέσω Κλαζομενίοις ἀχημονεῖν.

Κεφ. ις'.

Περὶ Φωκίωνος.

Φωκίωνος δὲ τοῦ Φώκου καὶ τοῦτο ἔγωγε ἔγνων καλόν. παρελθὼν γὰρ εἰς τὰς Ἀθηναίων ἐκκλησίας ἔσης, ἐπεί τι αὐτοῖς ἐμέμφετο ἀγνωμονοῦσι, πάνυ σφόδρα πεπαιδευμένως, καὶ πληκτικῶς εἶπε· βέλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν κακὸν αὐτὸς, ἢ αὐτός τι ὑμᾶς κακῶς δρᾶσαι.

Κεφ. ιζ'.

Περὶ Μάγων τῶν ἐν Πέρσαις σοφίας, καὶ Ὤχου.

Ἡ τῶν ἐν Πέρσαις Μάγων σοφία, τάτε ἄλλα οἶδεν, ὁπόσα αὐτοῖς εἰδέναι θέμις, καὶ ἓν καὶ μαντεύεσθαι. οἵπερ δὴ καὶ

καὶ προεῖπον τὴν τοῦ Ὤχου περὶ τοὺς ὑπηκόους ἀγριότητα, καὶ τὸ Φονικὸν αὐτοῦ, διά τινων ἀποῤῥήτων συμβόλων καταγνόντες τοῦτο. ὅτε γὰρ, Ἀρταξέρξου τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος, εἰς τὴν βασιλείαν τῶν Περσῶν ὁ Ὤχος παρῆλθεν, οἱ Μάγοι προσέταξαν τῶν εὐνέχων τινὶ, τῶν πλησίον παρεστώτων, φυλάξαι τὸν Ὤχον, τῆς τραπέζης παρατεθείσης, τίνι πρῶτον τῶν παρακειμένων ἐπιχειρεῖ; καὶ ὁ μὲν εἰσήκει τηρῶν τοῦτο, ὁ δὲ Ὤχος τὰς χεῖρας ἐκτείνας, τῇ μὲν δεξιᾷ τῶν μαχαιρίων τῶν παρακειμένων ἓν ἔλαβε, τῇ δὲ ἑτέρᾳ τὸν μέγιστον τῶν ἄρτων προσειλκύσατο, καὶ ἐπιθεὶς ἐπ' 1) αὐτῶν τῶν κρεῶν, εἶτα τέμνων, ἤσθιεν ἀφειδῶς. ἅπερ ἀκούσαντες οἱ μάγοι, δύο ταῦτα ἐμαντεύσαντο, εὐετηρίαν τὴν ἐξ ὡρῶν, καὶ εὐφορίαν τὴν παρὰ τὸν τῆς ἀρχῆς αὐτοῦ χρόνον, καὶ πολλὰς φόνους. καὶ ἃ διεψεύσαντο.

Κεφ. ιή.

Περὶ δείπνων πολυτελῶν.

Τιμόθεος ὁ Κόνωνος, στρατηγὸς τῶν Ἀθηναίων, ἀποσάς ποτε τῶν δείπνων τῶν πολυτελῶν, καὶ τῶν ἑστιάσεων τῶν στραληγικῶν

1) αὐτόν.

κῶν ἐκείνων, παραληφθεὶς ὑπὸ Πλάτωνος εἰς τὸ ἐν Ἀκαδημίᾳ συμπόσιον, καὶ ἑστιαθεὶς ἀφελῶς ἅμα, καὶ μουσικῶς, ἔφη πρὸς τοὺς οἰκείους ἐπανελθών· ὅτι ἄρα οἱ παρὰ Πλάτωνι δειπνοῦντες, καὶ τῇ ὑστεραίᾳ καλῶς διάγουσιν. ἐκ 1) δὲ τούτου διέβαλε Τιμόθεος τὰ πολυτελῆ δεῖπνα, καὶ Φορτικὰ, ὡς πάντως εἰς τὴν ὑστεραίαν ἐκ εὐφραίνοντα. λόγος δὲ καὶ ἐκεῖνος ὁ ἀδελφὸς τῷ προειρημένῳ, καὶ ταυτὸν νοῶν, ἃ μὴν τὰ αὐτὰ λέγων, περίεισιν· ὅτι ἄρα τῇ ὑστεραίᾳ ὁ Τιμόθεος περιτυχὼν τῷ Πλάτωνι εἶπεν· ὑμεῖς, ὦ Πλάτων, εὖ δειπνεῖτε, μᾶλλον εἰς τὴν ὑστεραίαν, ἢ εἰς τὴν παροῦσαν.

Κεφ. ιθ'.

Περὶ Ἀλεξάνδρου θεὸν ἑαυτὸν καλεῖσθαι βουλομένου.

Ἀλέξανδρος ὅτε ἐνίκησε Δαρεῖον, καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ' ἑαυτῷ φρονῶν, καὶ ὑπὸ τῆς εὐτυχίας, τῆς περιλαβούσης αὐτὸν τότε, ἐκθεούμενος, ἐπέστειλε τοῖς Ἕλλησι, θεὸν αὐτὸν ψηφίσασθαι. γελοίως γε· ἃ γὰρ ἀπερ ἓν ἐκ τῆς φύσεως οὐκ εἶχε, ταῦτα ἐκ τῶν ἀν-

1) δὴ

ἀνθρώπων αὐτῶν ἐκεῖνος ἐκέρδαινεν. ἄλλοι μὲν ἂν ἄλλα ἐψηφίσαντο, Λακεδαιμόνιοι δὲ ἐκεῖνα· ἐπειδὴ Ἀλέξανδρος βέλεται θεὸς εἶναι, ἔστω θεός. Λακωνικῶς τε ἅμα καὶ κατὰ τὸν ἐπιχώριον σφίσι τρόπον, ἐλέγξαντες τὴν ἔμπληξιν οἱ Λακεδαιμόνιοι τῷ Ἀλεξάνδρῳ.

Κεφ. κ'.

Περὶ Ἀντιγόνου βασιλέως πραότητος.

Ἀντίγονον φασι τὸν βασιλέα δημοτικὸν καὶ πρᾷον γενέσθαι. καὶ ὅτῳ μὲν σχολὴ τὰ κατ' αὐτὸν εἰδέναι, καὶ 1) αὐτῷ ἔκαστα ἐξετάζειν ὑπὲρ τοῦ ἀνδρὸς, εἴσεται ἐτέρωθεν. εἰρήσεται δ' ἔν αὐτῷ καὶ πάνυ πρᾷον, καὶ ἄτυφον, ὃ μέλλω λέγειν. ὁ Ἀντίγονος ἔτος ὁρῶν τὸν υἱὸν τοῖς ὑπηκόοις χρώμενον βιαιότερόν τε, καὶ θρασύτερον, ἐκ οἵδα, εἶπεν, ὦ παῖ, τὴν βασιλείαν ἡμῶν ἔνδοξον εἶναι δελεάν; καὶ τὰ μὲν τοῦ Ἀντιγόνου πρὸς τὸν παῖδα πάνυ ἡμέρως ἔχει καὶ φιλανθρώπως. ὅτῳ δὲ δοκεῖ ταύτῃ, ἀλλ' ἐκεῖνός γε δοκεῖ μοι βασιλικὸν ἄνδρα τε εἰδέναι, καὶ πολιτικὸν, τυραννικῷ δὲ συμβιῶσαι μᾶλλον.

Κεφ.

1) αὐτὰ ἔκ.

Κεφ. κά.

Περὶ Παυσανίου, Ἀγάθωνος τοῦ ποιητοῦ ἐρωμένου.

Ἀγάθωνος ἦρα τοῦ ποιητοῦ Παυσανίας ὁ ἐκ Κεραμείων. καὶ τοῦτο μὲν διατεθρύλληται. ὃ δὲ μὴ εἰς πάντας πεφοίτηκεν, ἀλλ' ἐγὼ ἐρῶ. εἰς Ἀρχελάου ποτὲ ἀφίκοντο, ὅ, τε ἐραστὴς καὶ ὁ ἐρώμενος ἔτοι. ἦν δὲ ἄρα ὁ Ἀρχέλαος ἐρωτικὸς, ἐχ ἧττον, ἢ καὶ Φιλόμουσος. ἐπεὶ τοίνυν ἑώρα διαφερομένους πρὸς ἀλλήλους τόν τε Παυσανίαν καὶ τὸν Ἀγάθωνα πολλάκις, οἰόμενος τὸν ἐραστὴν ὑπὸ τῶν παιδικῶν παροράσθαι, ἤρετο ἄρα τὸν Ἀγάθωνα ὁ Ἀρχέλαος, τί βαλόμενος ἔτω πυκνὰ ἀπεχθάνεται τῷ πάντων μάλιστα φιλοῦντι αὐτόν; ὁ δὲ ἐγώ σοι, ἔφη, φράσω, βασιλεῦ. ὅτε γάρ εἰμι πρὸς αὐτὸν δύσερις, ὅτε ἀγροικίαν πράττω τοῦτο. εἰ δέ τι καὶ ἐγὼ ἠθῶν ἐπαίω τῇ τε ἄλλῃ, καὶ ἐκ ποιητικῆς, ἥδιστον εὑρίσκω εἶναι τοῖς ἐρῶσι πρὸς τὰ παιδικὰ ἐκ διαφορᾶς καταλλάσσεσθαι. καὶ πεπίστευκα, ὅδεν αὐτοῖς ὅτως ἀπαντᾶν τερπνόν. τοῦτο γοῦν τῷ ἡδέος πολλάκις αὐτῷ μεταδίδωμι, ἐρίζων πρὸς αὐτὸν πλεονάκις. εὐφραίνεται γὰρ κατα-

καταλυομένῳ μὲ τὴν πρὸς αὐτὸν ἔριν συνεχῶς. ὁμαλῶς δὲ καὶ συνήθως προσιόντος, ἐκ εἴσεται τὴν διαφοράτητα. ἐπῄνεσε ταῦτα ὁ Ἀρχέλαος, ὡς λόγος. ἦρα δέ, φασι, τῷ αὐτῷ Ἀγάθωνος τάτῳ καὶ Εὐριπίδης ὁ ποιητής· καὶ τὸν Χρύσιππον τὸ δρᾶμα αὐτῷ χαριζόμενος λέγειαι διαφροντίσαι. καὶ εἰ μὲν σαφὲς τᾶτο, ἀποφήνασθαι ἐκ οἶδα, λεγόμενον δ' ἔν αὐτὸ οἶδα ἐν τοῖς μάλιστα.

Κεφ. κβ'.

Ὅτι ἐννομώτατοι Μαντινεῖς.

Ἐννομωτάτως γενέσθαι καὶ Μαντινέας ἀκήκοα, οὐδὲν ἧττον Λοκρῶν, οὐδὲ Κρητῶν, οὐδὲ Λακεδαιμονίων αὐτῶν, οὐδ' Ἀθηναίων. σεμνόν γάρ τι χρῆμα καὶ τὸ Σόλωνος ἐγένετο, εἰ καὶ μετὰ ταῦτα Ἀθηναῖοι κατὰ μικρὸν τῶν νόμων 1) τινὰ τῶν ἐξ 2) αὐτῶν γραφόντων αὐτοῖς, διέφθειραν.

Κεφ. κγ'.

Ὅτι Νικόδωρος πύκτης ὢν, καὶ νομοθέτης ἐγένετο.

Νικόδωρος δὲ ὁ πύκτης ἐν τοῖς εὐδοκιμωτάτοις Μαντινέων γενόμενος, ἀλλὰ ὀψὲ

1) τινὰς. 2) αὐτῶ.

ὀψὲ τῆς ἡλικίας, καὶ μετὰ τὴν ἄθλησιν, καὶ νομοθέτης αὐτοῖς ἐγένετο, μακρῷ 1) τάτῳ ἄμεινον πολιτευσάμενος τῇ πατρίδι τῶν κηρυγμάτων τῶν ἐν τοῖς σταδίοις. φασὶ δὲ αὐτῷ Διαγόραν τὸν Μήλιον συνθεῖναι τὰς νόμας ἐρασθὴν γενόμενον. εἶχόν τι καὶ περαιτέρω ὑπὲρ Νικοδώρα εἰπεῖν· ὡς δ' ἂν μὴ δοκοίην καὶ τὸν ἔπαινον τὸν τᾷ Διαγόρα προσπαραλαμβάνειν, εἰς τοσᾶτον διηνύσθω τὰ τᾷ λόγῳ. θεοῖς γὰρ ἐχθρὸς Διαγόρας, καὶ ἄ μοι ἥδιον ἐπὶ πλεῖον μεμνῆσθαι αὐτᾷ.

Κεφ. κδ'.

Ὅτι ὁ Μίλων τὸ σῶμα ἰσχυρὸς ἦν, τὴν δὲ ψυχὴν οὐκ ἀνδρεῖος.

Ἤδη τινὲς τὴν Μίλωνος τᾷ Κροτωνιάτᾳ περιφερομένην ῥώμην ἐξέβαλον, τοιαῦτα ὑπὲρ αὐτᾷ λέγοντες· Μίλωνος τάτῳ τὴν ῥοιὰν, ἣν ἐν τῇ χειρὶ κατεῖχεν, ὠθεῖς τῶν ἀντιπάλων ἐλεῖν ἐδύνατο· ἡ δὲ ἐρωμένη αὐτᾷ, ῥᾴσα αὐτὴν ἐξῆρεν, φιλονεικᾶσα πρὸς αὐτὸν πολλάκις. ἐκ δὴ τάτῳ νοεῖν ἔσαν, ὅτι ὁ Μίλων ἰσχυρὸς μὲν τὸ σῶμα ἦν, ἀνδρεῖος δὲ τὴν ψυχὴν οὐκ ἦν.

1) τᾶτο.

Κεφ. κέ.

Ὅτι ἡ ἕκτη τῦ θαργηλιῶνος δεξιὰ τοῖς Ἕλλησι.

Τὴν ἕκτην τῦ μηνὸς τῦ θαργηλιῶνος πολλῶν καὶ ἀγαθῶν αἰτίαν γενέσθαι λέγουσιν, ὐ μόνον τοῖς Ἀθηναίοις, ἀλλὰ καὶ ἄλλοις πολλοῖς· αὐτίκα γὲν Σωκράτης ἐν ταύτῃ ἐγένετο. καὶ Πέρσαι δὲ ἡττήθησαν τῇ ἡμέρᾳ ταύτῃ· καὶ Ἀθηναῖοι δὲ τῇ Ἀγροτέρᾳ ἀποθύσαι τὰς χιμαίρας τὰς τριακοσίας, κατὰ τὴν εὐχὴν τῦ Μιλτιάδυ δρῶντες τῦτο. τῦ δ' αὐτῦ μηνὸς ἕκτῃ ἱσαμένυ, καὶ τὴν ἐν Πλαταιαῖς μάχην φασὶ γενέσθαι, καὶ νικῆσαι τὺς Ἕλληνας. τὴν γὰρ προτέραν ἥτταν αὐτῶν, ἧς ἐμνήσθην, τὴν ἐπ' Ἀρτεμισίῳ γεγονέναι. καὶ τὴν ἐν Μυκάλῃ δὲ τῶν Ἑλλήνων νίκην ἐκ ἄλλης ὡμολόγηται δῶρον ἡμέρας γενέσθαι, ἢ ταύτης, εἴγε κατὰ τὴν αὐτὴν ἐνίκων καὶ ἐν Πλαταιαῖς καὶ ἐν Μυκάλῃ. καὶ Ἀλέξανδρον δὲ τὸν Μακεδόνα, τὸν Φιλίππυ παῖδα, τὰς πολλὰς μυριάδας τὰς τῶν Βαρβάρων φθεῖραι καὶ αὐτὸν λέγουσιν ἕκτῃ ἱσαμένυ, ὅτε καὶ Δαρεῖον καθεῖλεν Ἀλέξανδρος. καὶ ὁμολογῦσι τῦ αὐτῦ μηνὸς πάντα. καὶ αὐτὸν

αὐτὸν δὲ τὸν Ἀλέξανδρον, καὶ γενέσθαι, καὶ ἀπελθεῖν τῦ βίυ, τῇ αὐτῇ ἡμέρᾳ, πεπίσευται.

Κεφ. κε'.

Περὶ ὑπερβορείυ Ἀπόλλωνος, καὶ περί τινων παρὰ Πυθαγόρᾳ θαυμασίων.

Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα ὑπερβόρειον προσαγορεύεσθαι. κἀκεῖνα δὲ προσεπιλέγει ὁ τῦ Νικομάχυ· ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ, κατὰ τὴν αὐτὴν ὥραν, καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν. καὶ ἐν Κρότωνι τῷ ἀγῶνι ἐξανισάμενος· ἔνθα καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσῦν. λέγει δὲ καὶ ὁ αὐτὸς, ὅτι ὑπὸ τὸν Κῶσαν ποταμὸν διαβαίνων προσερρήθη. καὶ πολλὲς φησιν ἀκηκοέναι τὴν πρόσρησιν ταύτην.

Κεφ. κς'.

Ὅτι Ἀννίκερις ἱππεὺς δεξιός· καὶ ὅτι ὑπὲρ μικρῶν λίαν σπεδάζων, τὰ μεγάλα ὀλιγωρεῖ.

Ἀννίκερις ὁ Κυρηναῖος ἐπὶ τῇ ἱππείᾳ μέγα ἐφρόνει, καὶ ἁρμάτων ἐλάσει.

καὶ ἔν ποτε καὶ ἐβλήθη Πλάτωνι ἐπιδείξασθαι τὴν τέχνην. ζεύξας ἓν τὸ ἅρμα, περιήλασεν ἐν Ἀκαδημίᾳ δρόμους παμπόλλους, ἕτως ἀκριβῶς φυλάττων τῶ δρόμῳ τὸν σοῖχον, ὡς μὴ παραβαίνειν τὰς ἁρματοδρομίας, ἀλλ' ἀεὶ κατ' 1) αὐτὸν ἰέναι. οἱ μὲν ἓν ἄλλοι πάντες, ὥσπερ εἰκὸς, ἐξεπλάγησαν. ὁ δὲ Πλάτων, τὴν ὑπερβάλλουσαν αὐτῶ σπουδὴν διέβαλεν, εἰπών· ἀδύνατόν ἐστι, τὸν εἰς μικρὰ ἕτω καὶ ἀδενὸς ἄξια τοσαύτην φροντίδα κατατιθέμενον, ὑπὲρ μεγάλων τινῶν σπουδάσαι. πᾶσαν γὰρ αὐτῷ τὴν διάνοιαν εἰς ἐκεῖνα ἀποδεθῆσαν ἀνάγκη ὀλιγωρεῖν τῶν ὄντως θαυμάζεσθαι δικαίων.

Κεφ. κή.

Ἀλεκτρυόνων ἀγὼν πόθεν ἀρχὴν ἔλαβεν.

Μετὰ τὴν κατὰ τῶν Περσῶν νίκην, Ἀθηναῖοι νόμον ἔθεντο, ἀλεκτρυόνας ἀγωνίζεσθαι δημοσίᾳ ἐν τῷ θεάτρῳ μιᾶς ἡμέρας τῶ ἔτους. πόθεν δὲ τὴν ἀρχὴν ἔλαβεν ὅδε ὁ νόμος, ἐρῶ. ὅτι Θεμιστοκλῆς ἐπὶ τὸς Βαρβάρους ἐξῆγε τὴν πολιτικὴν δύναμιν, ἀλεκτρυόνας ἐθεάσατο μαχομένους. ὧδε ἀργῶς

1) αὐτῶν.

ἀργῶς αὐτὸς εἶδεν. ἐπέστησε δὲ τὴν στρατιὰν, καὶ ἔφη πρὸς αὐτούς· ἀλλ' ὅτοι μὲν, ὅτε ὑπὲρ παλιδος, ὅτε ὑπὲρ πατρῴων θεῶν, ὧδε μὴν ὑπὲρ γονικῶν 1) ἡρώων κακοπαθοῦσιν, ὧδε ὑπὲρ δόξης, ὧδε ὑπὲρ ἐλευθερίας, ὧδε ὑπὲρ παίδων, ἀλλ' ὑπὲρ τοῦ μὴ ἡττηθῆναι ἑκάτερος, μηδὲ εἶξαι θατέρῳ τὸν ἕτερον. ἀπερῶν εἰπὼν ἐπέτρεψε τοὺς Ἀθηναίους· τὸ τοίνυν γενόμενον αὐτοῖς σύνθημα τότε εἰς ἀρετὴν, ἐβλήθη διαφυλάττειν καὶ εἰς τὰ ὅμοια ἔργα ὑπόμνησιν.

Κεφ. κθ'.

Τὴν τύχην πῶς ἐσήμανεν ὁ Πιτθακός.

Πιτθακὸς ἐν Μιτυλήνῃ κατεσκεύασε τοῖς ἱεροῖς κλίμακα, εἰς ἐδεμίαν μὲν χρῆσιν ἐπιτήδειον, αὐτὸ δὲ τοῦτο ἀνάθημα εἶναι· αἰνιττόμενος τὴν ἐκ τῆς τύχης ἄνω καὶ κάτω μετάπλωσιν, τρόπον τινὰ τῶν μὲν εὐτυχούντων ἀνιόντων, κατιόντων δὲ τῶν δυστυχούντων.

Κεφ. λ'.

Περὶ Πλάτωνος.

Πλάτων ὁ Ἀρίστωνος τὰ πρῶτα ἐπὶ ποιητικὴν ὥρμησεν, καὶ ἡρῳϊκὰ ἔγραφε

C 3 μέτρα.

1) ἡρώων.

μέτρα. εἶτα αὐτὰ κατέπρησεν ὑπεριδὼν αὐτῶν, ἐπεὶ τοῖς Ὁμήρου αὐτὰ ἀντικρίνων ἑώρα κατὰ πολὺ ἡττώμενα. ἐπέθετο δὲ καὶ τραγῳδίᾳ, καὶ δὴ καὶ τετραλογίαν εἰργάσατο. καὶ ἔμελλεν ἀγωνιεῖσθαι, δὲς ἤδη τοῖς ὑποκριταῖς τὰ ποιήματα. πρὸ τῶν Διονυσίων δὲ παρελθὼν ἤκουσε Σωκράτους, καὶ ἅπαξ αἱρεθεὶς ὑπὸ τῆς ἐκείνου σειρῆνος, τοῦ ἀγωνίσματος ὃ μόνον ἀπέσχετο τότε, ἀλλὰ καὶ τελέως τὸ γράφειν τραγῳδίαν ἀπέῤῥιψε, καὶ ἀπεδύσατο ἐπὶ 1) Φιλοσοφίᾳ.

Κεφ. λά.

Ὅτι μηδεὶς τῶν βαρβάρων ἄθεος.

Καὶ τίς ἂν ἐπήνεσε τὴν τῶν βαρβάρων σοφίαν; εἴγε μηδεὶς αὐτῶν εἰς ἀθεότητα ἐξέπεσε, μηδὲ ἀμφιβάλλουσι περὶ θεῶν, ἄρ' ἀγαθοί εἰσιν, ἢ οὐκ εἰσίν· καὶ ἆρ' ἀγαθοὶ ἡμῶν φρονοῦσιν, ἢ οὔ. οὐδεὶς γοῦν ἔννοιαν ἔλαβε τοιαύτην, οἵαν ὁ Εὐήμερος ὁ Μεσσήνιος, ἢ Διογένης ὁ Φρύξ, ἢ Ἵππων, ἢ Διαγόρας, ἢ Σωσίας, ἢ Ἐπίκουρος, οὔτε Ἰνδὸς, οὔτε Κελτὸς, οὔτε Αἰγύπτιος. λέγουσι δὲ τῶν βαρβάρων οἱ προειρημένοι, καὶ εἶναι θεοὺς, καὶ προνοεῖν ἡμῶν, καὶ προσημαίνειν τὰ μέλλον-

1) φιλοσοφίαν.

μέλλοντα, καὶ διὰ ὀρνίθων, καὶ διὰ συμβόλων, καὶ διὰ σπλάγχνων, καὶ δι' ἄλλων τινῶν μαθημάτων τε, καὶ διδαγμάτων. ἄπεργον ἐστὶ τοῖς ἀνθρώποις διδασκαλία ἐκ τῆς παρὰ τῶν θεῶν εἰς αὐτοὺς προνοίας· καὶ δι' ὀνείρων δὲ λέγουσι, καὶ δι' αὐτῶν τῶν ἀστέρων πολλὰ προδηλοῦσθαι. καὶ ὑπὲρ τούτων ἰσχυρὰν ἔχουσι τὴν πίστιν, θύουσί τε καθαρῶς, καὶ ἁγνεύουσιν ὁσίως, καὶ τελεταῖς τελοῦσι, καὶ ὀργίοις φυλάττουσι νόμον, καὶ τὰ ἄλλα πράττουσιν. ἐξ ὧν, ὅτι τοὺς θεοὺς ἰσχυρῶς καὶ σέβουσι, καὶ τιμῶσιν, ὡμολόγηται.

Κεφ. λβ'.

Περὶ Ἡρακλέους μετωνυμίας, καὶ χρησμοῦ Φοίβου ὑπὲρ αὐτοῦ.

Λέγουσί τινες λόγοι Πυθικοὶ, τὸν Ἡρακλῆν, τὸν Διὸς καὶ Ἀλκμήνης παῖδα, ἀπὸ γενεᾶς Ἡρακλείδην κεκλῆσθαι· χρόνῳ δὲ ὕστερον ἐλθόντα εἰς Δελφοὺς διά τινα αἰτίαν δεόμενον χρησμοῦ, μήτε ὧν ἦκε χάριν ἀμοιρῆσαι· προσακοῦσαι δὲ ἐκείνοις καὶ ἰδίᾳ παρὰ τοῦ θεοῦ ταῦτα·

Ἡρακλῆν δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει.

Ἥρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἔξεις.

Κεφ. λγ'.

Περὶ ἀγαλμάτων ποταμῶν.

Τὴν τῶν ποταμῶν φύσιν, καὶ τὰ ῥεῖθρα αὐτῶν ὁρῶμεν. ὅμως δὲ οἱ τιμῶντες αὐτὲς, καὶ τὰ ἀγάλματα αὐτῶν ἐργαζόμενοι, οἱ μὲν 1) ἀναμόρφες αὐτὲς ἱδρύσαντο, οἱ δὲ βοῶν εἶδος αὐτοῖς περιέθηκαν. Βεσὶ μὲν ἓν εἰκάζεσιν, οἱ Στυμφάλιοι μὲν τὸν Ἐρασῖνον καὶ τὴν Μετώπην, Λακεδαιμόνιοι δὲ τὸν Εὐρώταν· Σικυώνιοι δὲ καὶ Φλιάσιοι τὸν Ἀσωπόν· Ἀργεῖοι δὲ τὸν Κηφισσόν. ἐν εἴδει δὲ ἀνδρῶν Ψωφίδιοι τὸν Ἐρύμανθον, τὸν δὲ Ἀλφειὸν Ἡραιεῖς· Χερρονήσιοι δὲ οἱ ἀπὸ Κυίδε, καὶ αὐτοὶ τὸν αὐτὸν ποταμὸν ὁμοίως. Ἀθηναῖοι δὲ τὸν Κηφισσὸν ἄνδρα μὲν δεικνύεσιν ἐν τιμῇ, κέρατα δὲ ὑποφαίνοντα. καὶ ἐν Σικελίᾳ δὲ Συρακέσιοι μὲν τὸν Ἄναπον ἀνδρὶ ἔικασαν· τὴν δὲ Κυανῆν πηγὴν, γυναικὸς εἰκόνι ἐτίμησαν. Αἰγεσαῖοι δὲ τὸν Πόρπακα, καὶ τὸν Κριμισσὸν, καὶ τὸν Τελμισσὸν ἀνδρῶν εἴδει τιμῶσιν. Ἀκραγαντῖνοι δὲ τὸν ἐπώνυμον τῆς πόλεως ποταμὸν παιδὶ ὡραίῳ εἰκάσαντες,

1) ἀνθρωπομόρφες.

σαντες, θύεσιν. οἱ δὲ αὐτοὶ καὶ ἐν Δελφοῖς ἀνέθεσαν, ἐλέφαντος διαγλύψαντες ἄγαλμα, καὶ ἐπέγραψαν τὸ τῦ ποταμῦ ὄνομα, καὶ παιδός ἐσι τὸ ἄγαλμα.

Κεφ. λδ'.

Περὶ γήρως.

Ἐπίχαρμον, φασὶ, πάνυ σφόδρα πρεσβύτην ὄντα, μετά τινων ἡλικιωτῶν ἐν λέσχῃ καθήμενον, ἐπεὶ ἕκαστος τῶν παρόντων ἔλεγεν. ὁ μέν τις, ἐμοὶ πέντε ἔτη ἀπόχρη βιῶναι· ἄλλος δὲ, ἐμοὶ τρία· τρίτε δὲ εἰπόντος, ἐμοίγε τέσσαρα· ὑπολαβὼν ὁ Ἐπίχαρμος, ὦ βέλτισοι, εἶπε, τί σασιάζετε καὶ διαφέρεσθε ὑπὲρ ὀλίγων ἡμερῶν; πάντες γὰρ οἱ συνελθόντες καλά τινα δαίμονα, ἐπὶ δυσμαῖς ἐσμεν. ὥσε ὥρα πᾶσιν ἡμῖν τὴν ταχίσην ἀνάγεσθαι, πρὸ τῦ τινος καὶ ἀπολαῦσαι κακῦ πρεσβυτιδίε.

Κεφ. λέ.

Ὅτι ὁ ὕπνος θανάτε ἀδελφός· καὶ περὶ Γοργίε τελευτῆς.

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τῦ βίε, καὶ γεγηρακὼς εὖ μάλα, ὑπό τινος ἀθενείας καταληφθεὶς, κατ' ὀλίγον

εἰς ὕπνον ὑπολιθαίνων ἔκειτο. ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπέμενος, καὶ ἤρετο, τί πράττοι; ὁ Γοργίας ἔφη, ἤδη με ὁ ὕπνος ἄρχεται παρακαταθίεσθαι τῷ ἀδελφῷ.

Κεφ. λς'.

Περὶ Σωκράτες γηρῶντος καὶ νοσοῦντος.

Σωκράτης δὲ καὶ αὐτὸς βαθύτατα γηρῶν, εἶτα νόσῳ περιπεσὼν, ἐπεί τις αὐτὸν ἠρώτησε, πῶς ἔχει; καλῶς, εἶπε, πρὸς ἀμφότερα. ἐὰν μὲν γὰρ ζῶ, ζηλωτὰς ἕξω πλείονας· εἰ δὲ ἀποθάνω, ἐπαινέτας πλείονας.

Κεφ. λζ'.

Περὶ νόμε τῦ τὰς νοσοῦντας οἶνον πίνειν κωλύοντος.

Ζαλεύκε τῦ Λοκρῦ, πολλοὶ μὲν εἰσι καὶ ἄλλοι νόμοι κάλλισα καὶ εἰς δέον κείμενοι, καὶ ἔτος δὲ ἔχ ἥκισα. εἴ τις Λοκρῶν τῶν Ἐπιζεφυρίων νοσῶν ἔπιεν οἶνον ἄκρατον, μὴ προστάξαντος τῦ θεραπεύοντος, εἰ καὶ περιεσώθη, θάνατος ἡ ζημία ἦν αὐτῷ, ὅτι, μὴ προσταχθὲν αὐτῷ, ὅδε ἔπιεν.

Κεφ.

Κεφ. λή.

Ῥωμαίων καὶ ἄλλων τινῶν νόμος, οἶνον μήτε παντὶ, μήτε ἡλικίᾳ πάσῃ παραχωρῶν.

Νόμος καὶ ἔτος Μασσαλιωτικὸς, γυναῖκας μὴ ὁμιλεῖν οἴνῳ, ἀλλ' ὑδροποτεῖν πᾶσαν γυναικῶν ἡλικίαν. λέγει δὲ Θεόφρασος καὶ παρὰ Μιλησίοις τὸν νόμον τῦτον ἰσχύειν, καὶ πείθεσθαι αὐτῷ τὰς Ἰάδας, ἀλλὰ τὰς Μιλησίων γυναῖκας. Τί δὲ ἂν εἴποιμι καὶ τὸν Ῥωμαίων νόμον; καὶ πῶς ἂν ὀφλήσω δικαίως ἀλογίαν; εἰ τὰ μὲν Λοκρῶν, ἢ Μασσαλιωτῶν, καὶ τὰ Μιλησίων διὰ μνήμης ἐθέμην, τὰ δὲ τῆς ἐμαυτῦ πατρίδος ἀλόγως ἐάσω. ἐκεῖν καὶ Ῥωμαίοις ἦν ἐν τοῖς μάλισα νόμος ὅδε ἐρρωμένος. ἔτε ἐλευθέρα γυνὴ ἔπιεν ἂν οἶνον, ἔτε οἰκέτις, ἀδὲ μὴν τῶν εὖ γεγονότων οἱ ἀφ' ἡβης μέχρι πέντε καὶ τριάκοντα ἐτῶν.

Κεφ. λθ'.

Κρητῶν νόμος περὶ μαθημάτων.

Κρῆτες δὲ τὰς παῖδας τὰς ἐλευθέρας μανθάνειν τὰς νόμας ἐκέλευον μετά τινος μελῳδίας, ἵνα ἐκ τῆς μεσικῆς ψυχαγωγῶν-

γωγῶνται, καὶ εὐκολώτερον αὐτὲς τῇ μνήμῃ 1) παραλαμβάνωσι· καὶ ἵνα μή, τι τῶν κεκωλυμένων πράξαντες, ἀγνοίᾳ πεποιηκέναι ἀπολογίαν ἔχωσι. δεύτερον δὲ μάθημα ἔταξαν, τὲς τῶν θεῶν ὕμνες μανθάνειν. τρίτον, τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἐγκώμια.

Κεφ. μ'.

Ζῶα ἀλλοτρίως πρὸς οἶνον ἔχοντα, καὶ ἄλλως μεθύοντα.

Πᾶν μὲν, ὅσον ἄλογόν ἐσιν, ἀλλοτρίως πρὸς οἶνον πέφυκε, μάλισα δὲ τῶν ζώων ἐκεῖνα, ὅσα σαφυλῆς, ἢ γιγάρτων ὑπερπλησθέντα μεθύει. καὶ οἱ κόρακες δὲ τὴν καλεμένην οἰνέτλαν βοτάνην ὅταν φάγωσι· καὶ οἱ κύνες δὲ καὶ αὐτοὶ, βακχεύονται. πίθηκος δὲ, καὶ ἐλέφας, ἐὰν οἶνε πίωσιν, ὁ μὲν τῆς ἀλκῆς ἐπιλανθάνεται ὁ ἐλέφας, ὁ δὲ τῆς πανεργίας, καὶ εἰσιν αἰρεθῆναι πάνυ ἀσθενεῖς.

Κεφ. μά.

Φιλοπόται τινὲς, καὶ πολυπόται.

Φιλοπόται δὲ λέγονται γενέσθαι, Διονύσιος ὁ Σικελίας τύραννος, καὶ Νισαῖος, καὶ ἕτος τύραννος, καὶ Ἀπολλοκράτης ὁ Διο-

1) συλαμβ.

Διονυσίε τε τυράννε υἱὸς, καὶ 1) Ἱππαρίων Διονυσίε (ἀνεψιὸς) καὶ ἕτος, καὶ Τιμόλαος ὁ Θηβαῖος, καὶ Χαρίδημος ὁ Ὠρείτης, καὶ 2) Ἀρκάδων, καὶ Ἐρασίξενος, καὶ Ἀλκέτας ὁ Μακεδών· καὶ Διότιμος ὁ Ἀθηναῖος, ἕτός τοι καὶ χώνη ἐπεκαλεῖτο. ἐντιθέμενος γὰρ τῷ σόματι χώνην, ἀδιαλείπτως ἐχώρει τὸν εἰσχεόμενον οἶνον. Κλεομένης ὁ Λακεδαιμόνιος ἐμόνον φασὶν, ὅτι πολυπότης ἦν, ἀλλὰ γὰρ προστιθέασιν αὐτῷ, καὶ τὅτο δήπε τὸ Σκυθικὸν κακὸν, ὅτι ἀκρατοπότης ἐγένετο· καὶ Ἴωνα δὲ τὸν Χῖον τὸν ποιητὴν καὶ αὐτὸν φασι περὶ τὸν οἶνον ἀκρατῶς ἔχειν. καὶ Ἀλέξανδρος δὲ ὁ Μακεδὼν ἐπὶ Καλάνῳ τῷ Βραχμᾶνι, τῷ 3) Ἰνδῷ σοφιςῇ, ὅτε ἑαυτὸν ἐκεῖνος κατέπρησεν, ἀγῶνα μεσικῆς, καὶ ἱππικῶν, καὶ ἀθλητῶν διέθηκε. χαριζόμενος δὲ τοῖς Ἰνδοῖς, καί τι ἐπιχώριον αὐτῶν ἀγώνισμα, εἰς τιμὴν τε Καλάνε συγκατηρίθμησε τοῖς ἄθλοις τοῖς προειρημένοις. οἰνοποσίας γᾶν ἀγωνίαν προὔθηκε, καὶ ἦν τῷ μὲν τα πρῶτα φερομένῳ τάλαντον τὸ γέρας· τῷ δὲ δευτέρῳ, τριάκοντα μναῖ· τῷ γε μὴν τρίτῳ, δέκα. ὁ δὲ τὰ νικητήρια ἀναθησάμενος

1) Ἱππαρῖνος. 2) Ἀρκαδίων. 3) Ἰνδῶν.

ἐν αὐτοῖς ἦν Πρόμαχος. καὶ ἐν Διονυσίᾳ δὲ τῇ τῶν Χοῶν ἑορτῇ πρὸ κειτο ἆθλον τῷ πιόντι πλέον, στέφανος χρυσοῦς· καὶ ἐνίκησε Ξενοκράτης ὁ Χαλκηδόνιος, καὶ τὸν στέφανον λαβὼν, ὅτε ἐπανῄει μετὰ τὸ δεῖπνον, τῷ Ἑρμῇ τῷ πρὸ τῶν θυρῶν ἔξωθι ἐπέθηκεν αὐτὸν, κατὰ τὸ ἔθος τῶν ἔμπροσθεν ἡμερῶν. καὶ γὰρ καὶ τοὺς ἀνθίνους, καὶ τοὺς ἐκ τῆς μυρρίνης, καὶ τὸν ἐκ τοῦ κιττοῦ, καὶ τὸν ἐκ τῆς δάφνης, ἐνταῦθα ἀνέπαυσε, καὶ ἀπέλιπε. καὶ Ἀνάχαρσις δὲ παμπόλυ, φασὶν, ἔπιε παρὰ Περιάνδρῳ. τοῦτο μὲν καὶ οἰκοθεν ἑαυτῷ ἐπαγόμενος τὸ ἐφόδιον. Σκυθῶν γὰρ ἴδιον τὸ πίνειν ἄκρατον. καὶ Λακύδης δὲ, καὶ Τίμων, οἱ Φιλόσοφοι, καὶ τοῦτοι πιεῖν πάμπολυ φασι. καὶ Μυκερῖνος δὲ ὁ Αἰγύπτιος, ὅτε αὐτῷ τὸ ἐκ Βύτης μαντεῖον ἀφικοῖτο, 1) προλέγων τὴν τοῦ βίου στενοχωρίαν, εἶτα ἐβούλη σοφίσασθαι τὸ λόγιον 2) ἐκεῖνο, διπλασιάζων τὸν χρόνον, καὶ ταῖς ἡμέραις προστιθεὶς τὰς νύκτας, διετέλει καὶ αὐτὸς ἀγρυπνῶν, καὶ πίνων ἅμα. Τίθει μετὰ τούτων καὶ Ἄμασιν τὸν Αἰγύπτιον, ἐπεί τοι καὶ Ἡρόδοτος ἱκανὸς τεκμηριῶσαι. καὶ Νικοτέλην δὲ τὸν Κορίνθιον ἐχρὴ ἀπὸ τούτων τάττειν, καὶ Σκόπαν τὸν

1) προλέγον. 2) ἐκεῖνος.

τὸν Κρέοντος υἱόν. καὶ Ἀντίοχον τὸν βασιλέα Φασὶν οἰνερασὴν γενέσθαι. διὰ ταῦτά τοι καὶ τὴν βασιλείαν αὐτῷ διῴκησν Ἀρισαίός τε καὶ 1) Θεμίσων, οἱ Κύπριοι, αὐτὸς δὲ διὰ τὴν πολυποσίαν ἐπεγέγραπτο τῇ ἀρχῇ ἄλως. καὶ ὁ Ἐπιφανὴς δὲ κληθεὶς Ἀντίοχος ὁ Ῥωμαίοις δοθεὶς ὅμηρος, καὶ ἔτος ἀκρατῶς ἐδίψα οἶνο πίνειν· καὶ ὁ ὁμώνυμος δὲ τούτῳ Ἀντίοχος, ὁ Μήδοις πρὸς Ἀρσάκην πολεμήσας, καὶ ἔτος ἦν τοῦ πίνειν δῆλος. καὶ ὁ μέγας δὲ καλούμενος Ἀντίοχος, καὶ ἔτος σὺν τούτοις τεταχθῶ. καὶ Ἄγρωνα δὲ τὸν Ἰλλυριῶν βασιλέα ἀπέκτεινεν ἡ πρὸς τὸν οἶνον ἄδικος ὁρμὴ, καὶ αὐτῷ πλευρῖτιν εἰργάσατο. καὶ ἕτερος Ἰλλυριῶν βασιλεὺς γενναῖος πίνειν καὶ ἔτος ἑαυτῷ ἀκρατῶς. τόν γε μὴν Καππαδόκην βασιλέα Ὀρροφέρνην, τί τοῦτον δράσομεν, καὶ ἐκεῖνον πίνειν γενόμενον δεινόν; εἰ δὲ χρὴ καὶ γυναικῶν μνημονεῦσαι, (ἄτοπον μὲν γυνὴ φιλοπότις, καὶ πολυπότις ἔτι μᾶλλον,) εἰρήσθω δ' ἓν καὶ περὶ τούτων. Κλειὼ, φασὶν, εἰς ἅμιλλαν ἰοῦσα, ἃ γυναιξὶ μόναις, ἀλλὰ καὶ τοῖς ἀνδράσι τοῖς συμπόταις, δεινοτάτη πιεῖν ἦν, καὶ ἐκράτει πάντων,

1) Θεμίσων.

των, αἴχισόν γε τῦτο φερομένη τὸ νικητήριον, ὥς γε ἐμοὶ κριτῇ.

Κεφ. μβ'.

Περὶ Πλάτωνος δόξης, καὶ περὶ ἰσονομίας.

Ἡ Πλάτωνος δόξα, καὶ ὁ τῆς κατ' αὐτὸν ἀρετῆς λόγος, καὶ εἰς Ἀρκάδας ἀφίκετο, καὶ Θηβαίους. καὶ ἓν ἐδεήθησαν αὐτῦ, πρέσβεις ἀποστείλαντες, σὺν τῇ 1) ἀνωλάτῃ σπουδῇ, ἀφικέσθαι σφίσι τὸν ἄνδρα, ἐκ ἐπὶ μόνῃ τῇ τῶν νέων προσασίᾳ, ἀλλ' ἵνα αὐτοῖς συγγένηται ἐπὶ τοῖς λόγοις τοῖς κατὰ φιλοσοφίαν· ἀλλὰ γὰρ καὶ, τὸ ἔτι τύτων μεῖζον, νομοθέτην αὐτὸν ἐκάλουν. ἔκων ἔμελλον ἀτυχήσειν τῦ ἀνδρός· καὶ γὰρ ἤθη ὁ τῦ Ἀρίστωνος τῇ κλήσει, καὶ δὴ καὶ ἔμελλεν ὑπακύσεσθαι. ἤρετο μέν τοι τὺς ἥκοντας, πῶς ἔχυσι πρὸς τὸ ἶσον ἔχειν ἅπαντες; ἐπεὶ δὲ ἔμαθε παρ' αὐτῶν, ὅτι καὶ πάνυ ἀλλοτρίως, ὐδὲ πείσειν αὐτὺς τιμᾶν τὴν ἰσονομίαν, ἀπείπατο τὴν πρὸς αὐτὺς ἐπιδημίαν.

Κεφ.

1) ἀνωτάτῳ

Κεφ. μγ'.

Τίνες τῶν Ἑλλήνων ἄριστοι, πενέστατοι.

Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων· Ἀριστείδης ὁ Νικομάχυ, καὶ Φωκίων ὁ Φώκυ, καὶ Ἐπαμινώνδας ὁ Πολυμάτιδος, καὶ Πελοπίδας ὁ Θηβαῖος, καὶ Λάμαχος ὁ Ἀθηναῖος, καὶ Σωκράτης ὁ Σωφρονίσκυ, καὶ Ἐφιάλτης δὲ ὁ Σοφωνίδυ καὶ ἐκεῖνος.

Κεφ. μδ'.

Εἰκόνος τῦ Θέωνος ζωγράφυ ἔκφρασις.

Θέωνος τῦ ζωγράφυ πολλὰ μὲν καὶ ἄλλα ὁμολογεῖ τὴν χειρυργίαν ἀγαθὴν ἔσαν, ἀτὰρ ἓν καὶ τόδε τὸ γράμμα. ὁπλίτης ἐσὶν ἐκβοηθῶν ἄφνω τῶν πολεμίων εἰσβαλόντων καὶ δηϊόντων ἅμα, καὶ κειρόντων τὴν γῆν. ἐναργῶς δὲ, καὶ πάνυ ἐκθύμως ὁ νεανίας ἔοικεν ὁρμῶντι εἰς τὴν μάχην. καὶ εἴπες ἂν αὐτὸν ἐνθυσιᾷν, ὥσπερ ἐξ Ἄρεος μανέντα. γοργὸν μὲν αὐτῷ βλέπυσιν οἱ ὀφθαλμοί· τὰ δὲ ὅπλα ἁρπάσας, ἔοικεν, ἢ ποδῶν ἔχει, ἐπὶ τὺς πολεμίυς

λεμίως ἄτλειν. προβάλλεται δὲ ἐντεῦθεν ἤδη τὴν ἀσπίδα, καὶ γυμνὸν ἐπισείει τὸ ξίφος, φονῶντι ἐοικώς, καὶ σφάτλειν βλέπων, καὶ ἀπειλῶν δι' ὅλε τε χήματος, ὅτι μηδενὸς φείσεται. καὶ πλέον ἐδὲν περιεἰργασαι τῷ Θέωνι, ἢ λοχίτης, ἢ ταξίαρχος, ἢ λόχος, ἢ ἵππευς, ἢ τοξότης. ἀλλ' ἀπέχρησέν οἱ καὶ ὁ εἰς ὁπλίτης ἕτος πληρῶσαι τὴν τῆς εἰκόνος ἀπαίτησιν. ἢ πρότερόν γε μὴν ὁ τεχνίτης ἐξεκάλυψε τὴν γραφὴν, ἢδὲ ἔδειξε τοῖς ἐπὶ θέαν συνειλεγμένοις, πρὶν ἢ σαλπιγκτὴν παρεσῆσατο, καὶ προσέταξεν αὐτῷ τὸ παρορμητικὸν ἐμπνεῦσαι μέλος διάτορόν τε, καὶ γεγωνὸς ὅτι μάλισα, καὶ οἷον εἰς τὴν μάχην ἐγερτήριον. ἅμα τε ἦν τὸ μέλος ἠκέετο τραχὺ, καὶ φοβερὸν, καὶ οἷον εἰς ὁπλιτῶν ἔξοδον ταχέως ἐκβοηθέντων μελῳδέτη σάλπιγγι, καὶ ἐδείκνυτο ἡ γραφὴ, καὶ ὁ στρατιώτης ἐβλέπετο· τῷ μέλει ἐναργεστέραν τὴν φαντασίαν τῷ ἐκβοηθέντος ἔτι καὶ μᾶλλον παρασήσαντος.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Κεφάλαιον ά.

Περιήγησις τῶν Θετταλικῶν Τεμπῶν.

Φέρε ἓν καὶ τὰ καλέμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν. ὡμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ δύναμιν φρασικὴν, μηδὲν ἀθενέσερον ὅσα βέλεται δεικνύναι τῶν ἀνδρῶν, τῶν καλὰ χειρεργίαν δεινῶν. Ἔσι δὴ χῶρος μεταξὺ κείμενος τῶ τε Ὀλύμπε, καὶ τῆς Ὄσσης· ὄρη δὲ ταῦτ' ἐσιν ὑπερύψηλα, καὶ οἷον ὑπό τινος θείας φροντίδος διεχισμένα, καὶ μέσον δέχεται χωρίον, ἓ τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σαδίες· τόγε μὴν πλάτος τῇ μέν ἐσι πλέθρε, τῇ δὲ καὶ πλεῖον ὀλίγῳ. διαῤῥεῖ δὲ μέσε αὐτῶ ὁ καλέμενος Πηνειὸς· εἰς τῶτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συῤ-

συρρέουσι, καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. διατριβὰς δ' ἔχει ποικίλας, καὶ παντοδαπὰς ὁ τόπος ἅτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα, εἰς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γέρεσιν ὁ χῶρος. κιτλὸς μὲν γὰρ πολὺς, καὶ εὖ μάλα λάσιος ἀνακμάζει καὶ τέθηλε, καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει, καὶ συμπέφυκεν αὐτοῖς. πολλὴ δὲ 1) σμίλαξ, ἡ μὲν πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν, καὶ ἐκείνη μὲν ὑπολανθάνει. ὁρᾶται δὲ τὸ χλοάζον πᾶν, καὶ ἔστιν ὀφθαλμῶν πανήγυρις. ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθημένοις, ἅλση τέ ἐστι ποικίλα, καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καλὰ φυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχᾶσθαι. διαῤῥέουσι δὲ καὶ κρῆναι συχναὶ, καὶ ἐπιῤῥεῖ νάματα ὑδάτων ψυχρῶν, καὶ πιεῖν ἡδίστων. λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι, καὶ εἰς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. κατεύδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ μουσικοὶ, καὶ ἐσιῶσιν εὖ μάλα τὰς ἀκοάς. καὶ παραμέμ-

1) μίλαξ.

ψαμέμψουσιν ἀπόνως, καὶ σὺν ἡδονῇ, διὰ τῶν μέλους τὸν κάματον τῶν παριόντων ἀφανίσαντες. παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι, καὶ αἱ ἀναπαυλαι. διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, χολῇ καὶ πράσῳ προϊὼν ἐλαίᾳ δίκην. πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται· ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποσέγειν τὴν ἀκτῖνα, καὶ παρέχειν τοῖς πλέουσι 1) πλοῦν καλὰ ψύχος. πᾶς δὲ ὁ περίοικος λεὼς συνίασιν, ἄλλοι σὺν ἄλλοις, καὶ θύσι, καὶ συνουσίας ποιοῦνται, καὶ συμπίνουσιν. ἅτε ἐν πολλῶν ὄντων τῶν θυόντων, καὶ τῶν καθαγιζομένων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὁσμαὶ συμπαρομαρτοῦσιν ἥδισται. ἔστω ἄρα ἡ τιμὴ ἡ διαρκὴς, ἡ περὶ τὸ κρεῖττον, ἐκθεοῖ τὸν τόπον. ἐνταῦθά τοί, φασι παῖδες Θετταλῶν, καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον καθῆραθαι κατὰ πρόσταγμα τοῦ Διὸς, ὅτε τὸν Πύθωνα τὸν 2) δράκοντα κατετόξευσεν, ἔτι φυλάττοντα τὸ Δελφὸς, τῆς γῆς ἐχούσης τὸ μαντεῖον. σεφανωσάμενον δὴ ἐκ ταύτης τῆς δάφνης τῆς Τεμπικῆς,

1) πλεῖν. 2) Δράκοντα.

πικῆς, καὶ λαβόντα κλάδον εἰς τὴν δεξιὰν χεῖρα (ἐκ τῆς αὐτῆ δάφνης) ἐλθεῖν εἰς Δελφοὺς, καὶ παραλαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητῦς παῖδα. ἔστι δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ ἐφάνη, καὶ τὸν κλάδον ἀνεῖλε. καὶ ἔτι καὶ νῦν ἔτος ἐννάτῳ οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπουσι, καὶ ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. οἱ δὲ παραγενόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν, αἰτίασι πάλιν στεφάνους ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ' ἧσπερ ἐρῶν καὶ τότε ὁ θεὸς ἐφάνη. καὶ τὴν ὁδὸν ἐκείνην 1) ἔρχεται, ἣ καλεῖται μὲν Πυθιὰς, φέρει δὲ διὰ Θετταλίας, καὶ Πελαγονίας, καὶ τῆς Οἴτης, καὶ τῆς Αἰνιάνων χώρας, καὶ τῆς Μηλιέων, καὶ Δωριέων, καὶ Λοκρῶν τῶν Ἑσπερίων. ἔστι δὲ καὶ παραπέμπουσιν αὐτοὺς σὺν αἰδοῖ καὶ τιμῇ, ὁδὸν ἧπλον, ἥπερ ἦν ἐκεῖνοι, οἱ τὰς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ θεῷ τούτῳ τιμῶσι. καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τῆς δάφνης τοῖς νικῶσι τοὺς στεφάνους διδόασιν. ὑπὲρ μὲν ὧν τῶν ἐν Θετταλίᾳ Τεμπῶν, καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

Κεφ.

1) ἔρχονται.

Κεφ. β'.

Περὶ Ἀναξαγόρᾳ ἀνδρείως τὸν τῶν τέκνων θάνατον ἐνεγκόντος.

Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ σπουδάζοντι πρὸς τοὺς ἑτέρους προσελθὼν ἔφη, τεθνηκέναι οἱ τοὺς δύο παῖδας, ἑσπερῶν καὶ εἶχε μόνος ὁ Ἀναξαγόρας. ὁ δὲ, μηδὲν διαταραχθεὶς, εἶπεν, ἤδειν θνητοὺς 1) γεγεννηκότας.

Κεφ. γ'.

Περὶ Ξενοφῶντος τὸν τοῦ υἱοῦ θάνατον ἀνδρείως ἐνεγκόντος.

Ξενοφῶντι θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων, τὸν υἱὸν αὐτῷ τὸν Γρύλλον τεθνάναι. κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων. ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον· ταῦτα μὲν ἦν δημώδη, καὶ ἐς πολλοὺς ἐκπεφοίτηκεν.

Κεφ.

1) γεγεννηκώς.

Κεφ. δ'.

Ὅτι ὁ Δίων ὑπὲρ τῦ υἱῦ θανάτυ ἐκ ἐταράχθη.

Δίων δὲ ὁ Ἱππαρίνυ μὲν παῖς, Πλάτωνος δὲ ὁμιλητὴς, ἔτυχε μὲν χρηματίζων ὑπέρ τινων δημοσίων καὶ κοινῶν πραγμάτων, ὁ δὲ παῖς αὐτῦ ἐκ τῦ τέγυς κατενεχθεὶς εἰς τὴν αὐλὴν, τὸν βίον κατέσρεψεν, ὐδὲν ἦν ἐπὶ τέτοις μετεβάλετο ὁ Δίων, ἀλλ' ὁπερῶν ἐξ ἀρχῆς ἔπρατλε, τῦτο καὶ δρῶν διετέλεσεν.

Κεφ. έ.

Ἀντίγονος τὸν υἱὸν νεκρὸν ἰδὼν ὐδὲν συνεταράχθη.

Ἀντίγονόν γε μὴν φασὶ τὸν δεύτερον, ἐπεί τινες τὸν υἱὸν αὐτῷ ἐκ τῆς παρατάξεως ἐκόμισαν νεκρὸν, εἶδε μὲν αὐτόν. ὐδὲν δὲ τρέψας τῦ χρωτὸς, ὐδὲ μὴν ἐπιδακρύσας, ἐπαινέσας δὲ ὡς ἀγαθὸν ςρατιώτην, θάπτειν προσέταξε.

Κεφ. ς'.

Περὶ μεγαλοφροσύνης Κράτητος.

Κράτης ὁ Θηβαῖος, τάτε ἄλλα μεγαλόφρων ὢν πεφύραται, καὶ καταφρονητικὸς τῶν ὑπὸ τῦ πλήθυς θαυμαζομένων· ἀτὰρ ἦν καὶ χρημάτων, καὶ πατρίδος. ὅτι μὲν ἦν τῆς ἐσίας ἀπέξη τοῖς Θηβαίοις, τῦτο μὲν καὶ εἰς πάντας ἐξεφοίτησε· τὸ δὲ ἕτερον αὐτῦ ὐ πᾶσι γνώριμον. ἔςι δὲ ἐκεῖνο· ἀπαλλατόμενος τῶν Θηβῶν εἰκιθεισῶν πάλιν, ἔφη, ὐ δέομαι πόλεως, ἣν Ἀλέξανδρος κατασκάψει, ἢ ἄλλος.

Κεφ. ζ'.

Περὶ τῆς τῶν πολλῶν κακοφημίας.

Δημοχάρης, ὁ τῦ Δημοσθένυς ἀδελφιδῦς, ἐπιδεῖξαι βυλόμενος, ὅτι τῆς ἐκ τῶν πολλῶν κακοφημίας ὑπερφρονεῖ, θεασάμενός τινας καθεζομένυς ἐν ἰατρείῳ ψογερὰς, καὶ κακῶς ἀγορεύειν ἐκ παντὸς τρόπυ διψῶντας, τί φατε ὑμεῖς (εἶπε) Δυσμενίδαι; τὸ ἦθος αὐτῶν ἅμα ἐκκαλύψας διὰ τῦτυ τῦ ὀνόματος.

Κεφ. ή.

Ὅτι ὁ Φρύνιχος διά τι ποίημα στρατηγὸς ἡρέθη.

Φρύνιχον Ἀθηναῖοι στρατηγὸν εἵλοντο, ἔστε κατὰ σπουδάς, ἔστε κατὰ τὴν τῶν γένους ἀξίαν, οὐδὲ μὴν ὅτι ἦν πλούσιος. πολλάκις γὰρ καὶ ἐκ τούτων ἐθαυμάζοντο ἐν ταῖς Ἀθήναις, καὶ τῶν ἄλλων προεῖντο. ἀλλ' ἐπεὶ τοῖς πυρρίχισαῖς ἔν τινι τραγῳδίᾳ ἐπιτήδεια μέλη καὶ πολεμικὰ ἐξεπόνησεν, ἵνα ἄρα κατεκτήσατο τὸ θέατρον, καὶ ἐκράτησε τῶν παρόντων, ὥσε παραχρῆμα αὐτὸν εἵλοντο στρατηγεῖν· πιστεύσαντες, ὅτι τῶν πολεμικῶν ἔργων ἡγήσεται καλῶς, καὶ εἰς δέον, ὅπου μὴ ἀπάδοντα τοῖς ἐνοπλίοις ἀνδράσιν εἰργάσατο τὰ ἐν τῷ δράματι μέλη τε, καὶ ποιήματα.

Κεφ. θ'.

Περὶ ἔρωτος.

Ἐρῶντι 1) ἀνδρὶ τίς ἐκ ἐρῶν, ὅπλοις ἐπεγέρσης τῆς μάχης, καὶ συνάγοντος τὸ πολέμου, ἐκ ἂν συμμίξειεν; ὁ γὰρ ἀνέραστος φεύγει καὶ ἀποδιδράσκει τὸν ἐρωτικὸν, ἅτε βέβηλος καὶ ἀτέλεστος τῷ θεῷ, καὶ

1) ἀνδρί τις, ἐκ ἐρῶν ὅπλοις, — συμμίξειεν. ὁ γ.

καὶ τοσοῦτον ἀνδρεῖος, ὅσον αὐτῷ καὶ ἡ ψυχὴ χωρεῖ, καὶ τὸ σῶμα ῥώμης ἔχει. δέδοικε δὲ τὸν ἕτερον, ἅτε ἐκ θεᾶς κατόχως ἐνθουσιῶντα, καὶ ἐμὰ Δία τοῦτο τὸ κοινὸν, ἐξ Ἄρεος, ἀλλ' ἐξ Ἔρωτος μανέντα. Οἱ μὲν γὰρ ἐκ τῆς ἑτέρας τῶν θεῶν κατειλημμένοι, ὧν ἕνα φησὶν Ὅμηρος ὅμοια τῷ Ἄρει μαίνεσθαι, ἀλλ' ἐκεῖνοι μὲν ἐξ ἑνὸς περιειλημμένοι δαίμονος, εὖ καὶ καλῶς ἀγωνίζονται τοσοῦτον, ὅσον ἐνθουσιῶν αὐτοὺς ἅπαξ. οἱ δὲ Ἔρωτος βάκχοι πολεμοῦντες, καὶ ὑπὸ τῆς Ἄρεως ὁρμῆς, καὶ ὑπὸ τῆς Ἔρωτος ἐκκαύσεως διπλῆν τὴν λατρείαν ὑπομένοντες, εἰκότως κατὰ τὴν Κρητῶν ἔννοιαν, καὶ κατορθοῦσι διπλᾶ. ἔκειν τῷ ἐξ Ἄρεως καὶ Ἔρωτος φρονῶντι, αἰτιάσαιτο ἂν τις, εἰ μὴ ὑπομένοι ὁπλίτης ἀνταγωνίσασθαι, ἐφ' ἑνὶ τεταγμένος θεῷ, ἀλλ' ἐχ ὑπὸ τοῖς δύο.

Κεφ. ι.

Περὶ τῶν ἐν Λακεδαίμονι ἐραστῶν καὶ ἐρωμένων.

Περὶ τῶν ἐν Λακεδαίμονι Ἐφόρων πολλὰ μὲν εἰπεῖν καὶ ἄλλα καλὰ ἔχω, ἃ δ' ἓν προήρημαι, νῦν ἐρῶ ταῦτα. ὅτε τις τῶν παρ' αὐτοῖς καλῶν, πλούσιον ἐραστὴν

ἐλέλειο τὸ χρηστὸ πένητος, ἐπέβαλλον αὐτῷ χρήματα, κολάζοντες, ὡς ἔοικε, τὴν φιλοχρηματίαν τῇ τῶν χρημάτων ζημίᾳ. ἄλλον δέ τινα ἄνδρα καλὸν κἀγαθὸν ἀδένος ἐρῶντα τῶν 1) ἀ καλῶς πεφυκότων, καὶ τοῦτον ἐζημίωσαν, ὅτι χρηστὸς ὢν ἀδένος ἦρα. δῆλον γὰρ, ὡς ὅμοιον ἂν ἑαυτῷ κἀκεῖνον ἀπέφηνεν, ἴσως δ' ἂν καὶ ἄλλον. δεινὴ γὰρ ἡ τῶν ἐρασῶν πρὸς τὰ παιδικὰ εὔνοια, ἀρετὰς ἐνεργάσασθαι, ὅταν αὐτοὶ σεμνοὶ ὦσιν. ἐπεί τοι Λακωνικὸς καὶ ἔτος νόμος, ὅταν ἁμάρτῃ μειράκιον τῇ μὲν ἀφελείᾳ τοῦ τρόπου, καὶ τῷ νεαρῷ τῆς ἡλικίας συγγινώσκουσι· τὸν δὲ ἐρασὴν ὑπὲρ αὐτοῦ κολάζουσιν, ἐπιγνώμονας αὐτοὺς, καὶ ἐξεταστὰς ὧν ἐκεῖνοι πράττουσι κελεύοντες εἶναι.

Κεφ. ιά.

Περὶ ψυχῆς.

Οἱ περιπατητικοὶ φασι, μεθ' ἡμέραν ζητεύσαν τὴν ψυχὴν, τῷ σώματι περιπλέκεσθαι, καὶ μὴ δύνασθαι καθαρῶς τὴν ἀλήθειαν θεωρεῖν· νύκτωρ δὲ διαλυθεῖσαν τῆς περὶ τοῦτο λειτουργίας, καὶ σφαιρωθεῖσαν ἐν τῷ περὶ τὸν θώρακα τόπῳ, μαντικωτέραν γίνεσθαι, ἐξ ὧν τὰ ἐνύπνια. Κεφ.

1) del. ἀ.

Κεφ. ιβ.

Περὶ ἔρωτος παρὰ Λακεδαιμονίοις.

Οὐκ εἰσὶ θρυπτικοὶ πρὸς τὰς ἐρασὰς οἱ Λακεδαιμονίων καλοὶ, ἀδὲ ἀλαζόνες· ἐπεὶ τἀναντίον, ἢ παρὰ τοῖς ἄλλοις ὡραίοις τὰ ἐκ τούτων καταμαθεῖν ἐστιν. αὐτοὶ γὰν δέονται τῶν ἐρασῶν εἰσπνεῖν αὐτοῖς. Λακεδαιμονίων δέ ἐστιν αὕτη ἡ φωνὴ, ἐρᾶν δεῖν λέγουσα. Σπαρτιάτης δὲ καὶ ἕως αἰσχρὸν οὐκ οἶδεν. εἴτε γὰρ μειράκιον ἐτόλμησεν ὕβριν ὑπομεῖναι, εἴτε ἐρασὴς ὑβρίσαι, ἀλλ' ἀδετέροις ἐλυσιτέλησε τῇ Σπάρτῃ καταμεῖναι. ἢ γὰρ τῆς πατρίδος ἀπηλάγησαν, ἢ καὶ τὸ ἔτι θερμότερον, καὶ τοῦ βίου αὐτοῦ.

Κεφ. ιγ.

Περὶ Ταπύρων οἰνοφλυγίας.

Ὅτι φιλοινότατον ἔθνος τὸ τῶν Ταπύρων, τοσοῦτον, ὥστε ζῆν αὐτοὺς ἐν οἴνῳ, καὶ τὸ πλεῖσον τοῦ βίου ἐν τῇ πρὸς αὐτὸν ὁμιλίᾳ καταναλίσκειν. καὶ ἀ μόνον εἰς πόμα καταχρῶνται αὐτῷ, ἀλλὰ καὶ 1) χρίσματά ἐστιν αὐτοῖς ὁ οἶνος, ὥσπερ ἄλλοις τὸ ἔλαιον.

1) χρίσμα.

Κεφ. ιδ'.

Περὶ οἰνοφλυγίας Βυζαντίων.

Βυζαντίοις δὲ δεινῶς οἰνόφλυγας ὄντας, ἐνοικεῖν τοῖς καπηλείοις ὁ λόγος ἔχει, τῶν οἰκιῶν τῶν ἰδίων, καὶ τῶν δωμάτων ἐξοικιζθέντας, καὶ τοῖς ξένοις τοῖς ἐπιδημοῦσι τῇ πόλει ἐπιμισθώσαντας αὐτά· καὶ ἐ μόνον ἐκείνων, ἀλλὰ καὶ τῶν γυναικῶν αὐτοῖς ἀποσάντας. ὡς ἐν ταυτῷ τὸς Βυζαντίοις διπλῆν αἰτίαν φέρεσθαι, καὶ οἰνοφλυγίας, καὶ προαγωγείας. ἅτε δὲ ὑπὸ τῆς μέθης καὶ τῷ οἴνῳ διαῤῥέοντες, αὐλῷ μὲν ἀκούοντες χαίρουσι, καὶ τὸ ἔργον αὐτοῖς αὐλεῖσθαί ἐστι. σάλπιγγα δὲ ἐδὲ ἀρχὴν ὑπομένουσι. καὶ ἐκ τούτων ἔξεστι νοεῖν, ὅτι καὶ πρὸς ὅπλα, καὶ πρὸς πολέμους ἀλκτεριώτατοι διάκεινται Βυζάντιοι. διὰ ταῦτά τοι καὶ Λεωνίδης ὁ στρατηγὸς αὐτῶν ἐν πολιορκίᾳ ἰσχυρᾷ, ἐπεὶ, τῶν πολεμίων τοῖς τείχεσι προσβαλόντων, ἐκεῖνοί γε τὰς Φρεάς ἐκλιπόντες διημέρευον ἐν ταῖς συνήθεσι διατριβαῖς, προσέταξε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν διασκηνωθῆναι αὐτοῖς. καὶ τοῦτο τὸ σόφισμα ἀνέπεισεν αὐτὸς ὀψὲ καὶ βραδέως, τὴν τάξιν μὴ καταλιπεῖν, ἅτε τῆς προ-

φάσεως αὐτοῖς περιῃρημένης. Λέγει δὲ ταῦτα ὑπὲρ αὐτῶν Δάμων. ὁμολογεῖν δὲ τούτοις ἔοικε καὶ ὁ Μένανδρος, ὅταν λέγῃ, Μεθύσας τὰς 1) ἐμπορίας ποιεῖ τὸ Βυζάντιον· ὅλην ἔπινε τὴν νύκτα.

Κεφ. ιε'.

Περὶ Ἀργείων, 2) Κορινθίων, Θρακῶν, Ἰλλυριῶν οἰνοφλυγίας.

Καὶ Ἀργεῖοι δὲ καὶ 3) Κορίνθιοι μεκωμώδηνται καὶ ἔτοι ἀκρατέστερον τῷ οἴνῳ προσιόντες. τὸ γε μὴν ὑπὲρ τῶν Θρᾳκῶν, ἀλλὰ τοῦτο μὲν καὶ διαβεβαίωται ἤδη, καὶ διατεθρύλληται, ὡς εἰσὶ πιεῖν δεινότατοι, ἃ διαπεφεύγασι δὲ νῦν τὴν τοιαύτην αἰτίαν ἐδὲ Ἰλλυριοὶ, ἀλλ' ἐκεῖνοί γε προσειλήφασι κἀκεῖνο τὸ ἐπίκλημα· ὅτι ἐφεῖται τοῖς ἐν τῷ συνδείπνῳ παροῦσι ξένοις, προπίνειν ταῖς γυναιξὶν ἕκαστον, ἐὰν βέλῃται, κἂν μηδὲν 4) προσήκει ἡ γυνὴ αὐτῷ.

Κεφ. ις'.

Σύγκρισις Δημητρίου καὶ Τιμοθέου στρατηγῶν.

Εἶτα τίς ἀμείνων ἦν στρατηγεῖν, Δημήτριος ὁ πολιορκητὴς, ἢ Τιμόθεος ὁ

1) ἐμπόρους. 2) Τιρυνθίων. 3) Τιρύνθιοι. 4) προσήκῃ.

Ἀθηναῖος; ἐγὼ μὲν ἐρῶ τὸν τῶν ἀμφοτέρων τρόπον. ἔνεσι δ' ὑμῖν πρεσβύται τὸν ἕτερον. Δημήτριος μὲν βίᾳ, καὶ πλεονεξίᾳ, καὶ λυπῶν τὰ μέγιστα, καὶ ἀδικῶν ἤρει τὰς πόλεις, μηχανὰς προσάγων, καὶ καταστείων καὶ ὑπορύττων τὰ τείχη. Τιμόθεος δὲ πείθων, καὶ διδάσκων λόγῳ, ὅτι λυσιτελέστερόν ἐστι τῶν Ἀθηναίων ἀκέαιν.

Κεφ. ιζ'.

Ὅτι ἡ φιλοσοφία ἐν ἀπολίτευτος, καὶ τίνες τῶν φιλοσόφων ἐπολιτεύσαντο.

Ἐπολιτεύσαντο ἔν καὶ φιλόσοφοι, ἢ αὐτὸ τοῦτο μόνον τὴν διάνοιαν ἀγαθοὶ γενόμενοι, ἐφ' ἡσυχίας καλεβίωσαν. ἐπηνώρθωσαν γὰρ τὰ κοινά, Ζάλευκος μὲν τὰ ἐν Λοκροῖς, Χαρώνδας δὲ τὰ ἐν Κατάνῃ, καὶ τὰ ἐν 1) Ῥηγίνῳ, ὅτε ἐκ Καλάνης ἔφευγε. Ταραντίνοις δὲ ἐγένετο 2) ἀγαθὸς Ἀρχύτας, Σόλων δὲ Ἀθηναίοις, Βίας δὲ καὶ Θαλῆς τὴν Ἰωνίαν πολλὰ ὤνησαν, Χίλων δὲ Λακεδαιμονίοις, Μιτυληναίοις γε μὴν Πιττακός, Κλεόβουλος δὲ Ῥοδίοις, καὶ Ἀναξίμανδρος δὲ ἡγήσατο τῆς εἰς Ἀπολλωνίαν ἐκ Μιλήτου ἀποι-

1) Ῥηγίῳ. 2) ἀγαθόν.

κίας. ἀλλὰ καὶ Ξενοφῶν στρατιώτης ἀγαθὸς ἦν· καὶ Ἀμείνων στρατηγὸς, ὅτε Κύρῳ συνανέβη, καὶ Κῦρος μὲν καὶ οἱ σὺν αὐτῷ ἀπέθανον. καλέσας δὲ τῆς χρείας τὸν δυνησόμενον σῶσαι τοὺς Ἕλληνας, καὶ ἀγαγεῖν τὴν ὀπίσω εἰς τὰ οἰκεῖα, ἔτος ἐκεῖνος ἦν. Πλάτων δὲ ὁ Ἀρίστωνος Δίωνα κατήγαγεν εἰς Σικελίαν, καὶ δι' ὧν αὐτῷ συνεβούλευε, καὶ ἐδίδασκε, διὰ τούτων τυραννίδα τὴν Διονυσίου κατέλυσε. Σωκράτης δὲ τῇ μὲν Ἀθηναίων πολιτείᾳ οὐκ ἠρέσκετο· τυραννικὴν γάρ, καὶ μοναρχικὴν ἑώρα τὴν δημοκρατίαν 1) οὖσαν Ἀθηναίοις, καὶ διὰ ταῦτα ἔτε 2) ἐψήφισε τῶν δέκα στρατηγῶν θάνατον, ἀλλ' ἐδὲ τοῖς τριάκοντα ἐκοινώνει τῶν ἀσεβημάτων. ἔνθα δὲ ἔχρῆν ὑπὲρ τῆς πατρίδος ἀγωνίζεσθαι, ἀλλ' ἐνταῦθά γε ἀπροφάσιστος ἐκεῖνος στρατιώτης ἦν. ἐστρατεύσατο οὖν ἐπὶ Δήλιον, καὶ εἰς Ἀμφίπολιν, καὶ εἰς Ποτίδαιαν. Ἀριστοτέλης δὲ τὴν ἑαυτοῦ πατρίδα, ἃ τὰ λεγόμενον δὴ τοῦτο, εἰς γόνυ πεσοῦσαν, ἀλλ' ἐπὶ στόμα, ἀνέστησεν αὖθις. Δημήτριος δὲ ὁ Φαληρεὺς, καὶ Ἀθήνησιν ἐπιφανέστατα ἐπολιτεύσατο, ἐς' ἂν αὐτὸν ὁ συνήθης

1) ὄντων· καὶ δ. τ. 2) ἐψήφισεν Ἀθηναίοις.

Ἀθηναίοις Φθόνος ἐξέωσε. καὶ ἐν Αἰγύπτῳ δὲ, συνὼν τῷ Πτολεμαίῳ, νομοθεσίας ἦρξε. τίς δὲ ἀντιφήσει, καὶ Περικλέα τὸν Ξανθίππε φιλόσοφον γενέσθαι, καὶ Ἐπαμινώνδαν τὸν Πολύμνιδος, καὶ Φωκίωνα τὸν Φάκε, καὶ Ἀριστείδην τὸν Λυσιμάχε, καὶ Ἐφιάλτην τὸν Σοφωνίδε. καὶ ἔτι κάτω τε χρόνε Καρνεάδην καὶ Κριτόλαον; εἴγε καὶ εἰς τὴν Ῥώμην ἀφίκοντο καὶ ἐκεῖνοι ὑπὲρ τῶν Ἀθηναίων πρεσβεύοντες, καὶ αὐτοὶ σωτηρίαν εὗραντο. οἵπερ ἐς τοσῦτον ἐνέτρεψαν τὴν σύγκλητον βουλὴν, ὡς εἰπεῖν αὐτὲς, ἔπεμψαν Ἀθηναῖοι πρεσβεύοντας, ἀναυτὲς πείσοντας, ἀλλὰ γὰρ τὲς βιασομένες ἡμᾶς δρᾶσαι ὅσα θέλεσιν. ἐγὼ καὶ πολιτείαν Φαίην καὶ τὸ Περσαίε, εἴγε Ἀντίγονον ἐπαίδευσε. καὶ τὸ Ἀριστοτέλες, ἐπεὶ καὶ αὐτὸς σὺν Ἀλεξάνδρῳ τῷ Φιλίππε νέῳ ὄντι φιλοσόφων ἦν δῆλος. καὶ Λύσις δὲ ὁ γνώριμος ὁ Πυθαγόρε, καὶ αὐτὸς Ἐπαμινώνδαν ἐξεπαίδευσεν. εἴ τις ἦν ἀπράκτες λέγει τὲς φιλοσόφες, ἀλλὰ εὐήθη γε αὐτῷ καὶ ἀνόητα ταῦτα. ἐγὼ μὲν γὰρ τὴν σὺν αὐτοῖς ἀπραγμοσύνην, καὶ τὸν τῆς ἡσυχίας ἔρωτα καὶ ἁρπάσαιμι ἐπιδραμών.

Κεφ.

2) ἀ τὲς π.

Κεφ. ιή.

Περὶ συνεσίας Μίδε τε Φρυγὸς, καὶ Σειληνε· καὶ τῶν ὑπὸ τέτε παραδόξως λεχθέντων.

Περιηγεῖταί τινα Θεόπομπος συνεσίαν Μίδε τε Φρυγὸς, καὶ Σειληνε. νύμφης δὲ παῖς ὁ Σειληνὸς ἦτος, θεᾶ μὲν ἀφανέσερος τὴν φύσιν, ἀνθρώπε δὲ κρείττων καὶ θανάτε ἦν. πολλὰ μὲν δὴ καὶ ἄλλα ἀλλήλοις διελέχθησαν· καὶ ὑπὲρ τέτων ὁ Σειληνὸς ἔλεγε πρὸς τὸν Μίδαν. τὴν μὲν Εὐρώπην, καὶ τὴν Ἀσίαν, καὶ τὴν Λιβύην νήσες εἶναι, ἃς περιῤῥεῖν κύκλῳ τὸν ὠκεανόν. ἤπειρον δὲ μόνην εἶναι ἐκείνην τὴν ἔξω τέτε τε κόσμε. καὶ τὸ μὲν μέγεθος αὐτῆς ἄπειρον διηγεῖτο. τρέφειν δὲ τὰ ἄλλα ζῶα μεγάλα, καὶ τὲς ἀνθρώπες δὲ τῶν ἐνταῦθα 1) ἓν διπλασίονας τὸ μέγεθος, καὶ χρόνον ζῆν αὐτὲς, οὐχ ὅσον ἡμεῖς, ἀλλὰ καὶ ἐκεῖνον διπλῆν. καὶ πολλὰς μὲν εἶναι καὶ μεγάλας πόλεις, καὶ βίων ἰδιότητας. καὶ νόμες αὐτοῖς τετάχθαι ἐναντίως κειμένες τοῖς παρ' ἡμῖν νομιζομένοις. δύο δὲ εἶναι πόλεις ἔλεγε μεγέθει μεγίσας, ἐδὲν δὲ ἀλλήλαις ἐοικέναι. καὶ τὴν μὲν ὀνομάζε-

1) del. ἓν.

θαι Μάχιμον· τὴν δὲ Εὐσεβῆ. Τὸς μὲν ἓν εὐσεβεῖς ἐν εἰρήνῃ τε διάγειν καὶ πλέτῳ βαθεῖ· καὶ λαμβάνειν τὸς καρπὸς ἐκ τῆς γῆς χωρὶς ἀρότρων καὶ βοῶν, γεωργεῖν δὲ καὶ σπείρειν ἀδὲν αὐτοῖς ἔργον εἶναι. καὶ διατελέσιν (ἦδ' ὃς) καὶ ἄνοσοι, καὶ καταγρέφσι τὸν ἑαυτῶν βίον γελῶντες εὖ μάλα, καὶ ἡδόμενοι. ἔτω δὲ ἀναμφιλόγως εἰσὶ δίκαιοι, ὡς μήτε τὸς θεὸς πολλάκις ἀπαξιῶν ἐπιφοιτᾶν αὐτοῖς. οἱ δὲ τῆς Μαχίμε πόλεως, μαχιμώταταί τέ εἰσι καὶ αὐτοὶ, καὶ γίνονται μεθ' ὅπλων, καὶ ἀεὶ πολεμῶσι, καὶ καταγρέφονται τὸς ὁμόρους, καὶ παμπόλλων ἐθνῶν μία πόλις κρατεῖ αὕτη. εἰσὶ δὲ οἱ οἰκήτορες ἐκ ἐλάττες διακοσίων μυριάδων. ἀποθνήσκσι δὲ τὸν μὲν ἄλλον χρόνον νοσήσαντες, σπάνιον δὲ τῦτο. ἐπεὶ τάγε πολλὰ ἐν τοῖς πολέμοις, ἢ λίθοις, ἢ ξύλοις παιόμενοι ἄτρωτοι γάρ εἰσι σιδήρῳ. χρυσῷ δὲ ἔχσι καὶ ἀργύρῳ ἀφθονίαν, ὡς ἀτιμότερον εἶναι παρ' αὐτοῖς τὸν χρυσὸν τῷ παρ' ἡμῖν σιδήρῳ. ἐπιχειρῆσαι δέ ποτε, καὶ διαβῆναι τῦτες εἰς τὰ δε τὰς ἡμεδαπὰς νήσες ἔλεγε. καὶ διαπλεύσαντάς γε τὸν ὠκεανὸν μυρίοσι χιλίοις τῶν ἀνθρώπων, ἕως Ὑπερβορέων ἀφικέσθαι. καὶ

καὶ πυθομένες τῶν παρ' ἡμῖν τῦτες εἶναι τὸς εὐδαιμονεστάτες, καταφρονῆσαι ὡς φαύλες, καὶ ταπεινῶς πράττοντας, καὶ διὰ ταῦτα ἀτιμάσαι προελθεῖν περαιτέρω. τὸ δὲ ἔτι θαυμασιώτερον προσετίθει, Μέροπάς τινας ἔτω καλεμένες ἀνθρώπως οἰκεῖν παρ' αὐτοῖς ἔφη πόλεις πολλὰς καὶ μεγάλας, ἐπ' ἐσχάτῳ δὲ τῆς χώρας αὐτῶν τόπον εἶναι καὶ ὀνομάζεσθαι Ἄνασον, ἐοικέναι δὲ χάσματι· κατειλῆφθαι δὲ ἔτε ὑπὸ σκότες, ἔτε ὑπὸ φωτὸς, ἀέρα δὲ ἐπικεῖσθαι ἐρυθήματι μεμιγμένον θολερῷ. δύο δὲ ποταμὸς περὶ τῦτον τὸν τόπον ῥεῖν, καὶ τὸν μὲν Ἡδονῆς καλεῖσθαι, τὸν δὲ Λύπης· καὶ παρ' ἑκάτερον τῦτον ἐσκέναι δένδρα τὸ μέγεθος πλατάνε μεγάλης. φέρειν δὲ καρπὸς τὰ μὲν παρὰ τὸν τῆς λύπης πόταμον τοιαύτην 1) ἔχοντα τὴν φύσιν. ἐάν τις αὐτῶν ἀπογεύσηται, τοσῦτον ἐκβάλλει δάκρυον, ὥσε καταστήκεσθαι, πάντα τὸν ἑαυτῦ βίον τὸν λοιπὸν θρηνῦντα, καὶ ἔτω τελευτᾶν. τὰ δὲ ἕτερα τὰ παραπεφυκότα τῷ τῆς ἡδονῆς ποταμῷ, ἀντίπαλον ἐκφέρειν καρπόν. ὃς γὰρ ἂν γεύσηται τῦτον, τῶν μὲν ἄλλων τῶν πρότερον ἐπιθυμιῶν παύεται· ἀλλὰ καὶ εἴ τε

ἤρα,

1) ἔχοντάς.

ἥρα, καὶ αὐτῷ λαμβάνει λήθην, καὶ γίνεται κατὰ βραχὺ νεώτερος, καὶ τὰς φθαινούσας ἡλικίας, καὶ τὰς ἤδη διελθούσας ἀναλαμβάνει ὀπίσω. τὸ μὲν γὰρ γῆρας ἀποῤῥίψας, ἐπὶ τὴν ἀκμὴν ὑποτρέφει, εἶτα ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἀναχωρεῖ, εἶτα παῖς γίνεται, εἶτα βρέφος, καὶ ἐπὶ τούτοις ἐξαναλώθη. καὶ ταῦτα, εἴ τῳ πιστὸς ὁ Χῖος λέγων, πεπίστευσθω. ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθολόγος, καὶ ἐν τούτοις, καὶ ἐν ἄλλοις δέ.

Κεφ. ιθ'.

Περὶ διαφορᾶς Ἀριστοτέλους πρὸς Πλάτωνα.

Λέγεται τὴν διαφορὰν Ἀριστοτέλης πρὸς Πλάτωνα τὴν πρώτην ἐκ τούτων γενέσθαι. ἠρ[1]έσατο αὐτῷ τῷ βίῳ ὁ Πλάτων, ᾗδε τῇ κατασκευῇ τῇ περὶ τὸ σῶμα. καὶ γὰρ ἐῴθει ἐχρῆτο περιέργῳ ὁ Ἀριστοτέλης, καὶ ὑποδέσει· καὶ κεφαλὴν δὲ ἐκείρετο καὶ ταύτην ἀπῄδη Πλάτωνι. καὶ δακτυλίοις δὲ πολλοῖς φορῶν ἐκαλλύνετο ἐπὶ τούτῳ. καὶ μωκία δέ τις ἦν αὐτῷ περὶ τὸ πρόσωπον, καὶ ἄκαιρος σαμυλία λαλοῦντος καταγόρει καὶ αὐτὴ τὸν τρόπον αὐτοῦ. παύλα δὲ

1) ἠρίσκετο.

δὲ ταῦτα ὡς ἔστιν ἀλλότρια φιλοσόφου, δῆλον. ἅπερ ἓν ὁρῶν ὁ Πλάτων ἐπροσίετο τὸν ἄνδρα· προετίμα δὲ αὐτοῦ Ξενοκράτην, καὶ Σπεύσιππον, καὶ Ἀμύκλαν, καὶ ἄλλους, τῇ τε λοιπῇ δεξιούμενος αὐτοὺς τιμῇ, καὶ ἓν καὶ τῇ κοινωνίᾳ τῶν λόγων. ἀποδημίας δέ ποτε γενομένης τῷ Ξενοκράτει εἰς τὴν πατρίδα, ἐπέθετο τῷ Πλάτωνι Ἀριστοτέλης, χορόν τινα τῶν ὁμιλητῶν τῶν ἑαυτοῦ περισπάμενος· ὧν ἦν Μνάσων τε ὁ Φωκεὺς, καὶ ἄλλοι τοιοῦτοι. ἐνόσει δὲ τότε ὁ Σπεύσιππος, καὶ διὰ ταῦτα ἀδύνατος ἦν συμβαδίζειν τῷ Πλάτωνι. ὁ δὲ Πλάτων ὀγδοήκοντα ἐτῶν ἐγεγόνει, ὁμοῦ τι καὶ διὰ τὴν ἡλικίαν ἐπελελοίπει τὸ τῆς μνήμης αὐτόν. ἐπιθέμενος οὖν αὐτῷ, καὶ ἐπιβλεύων ὁ Ἀριστοτέλης, καὶ φιλοτίμως πάνυ τὰς ἐρωτήσεις ποιούμενος, καὶ τρόπον τινὰ καὶ ἐλεγκτικῶς, ἀδικῶν ἅμα, καὶ ἀγνωμονῶν ἦν δῆλος. καὶ διὰ ταῦτα ἀποσὰς ὁ Πλάτων τοῦ ἔξω περιπάτου, ἔνδον ἐβάδιζε σὺν τοῖς ἑταίροις. τριῶν δὲ μηνῶν διαγενομένων, ὁ Ξενοκράτης ἀφίκετο ἐκ τῆς ἀποδημίας, καὶ καταλαμβάνει τὸν Ἀριστοτέλη βαδίζοντα, ὃν κατέλιπε τὸν Πλάτωνα. ὁρῶν δὲ αὐτὸν μετὰ τῶν γνωρίμων, ὃ πρὸς Πλάτωνα

των ἀναχωρῆντα ἐκ τῦ περιπάτυ, ἀλλὰ καθ' ἑαυτὸν ἀπιόντα εἰς τὴν πόλιν, ἤρετό τινα τῶν ἐν τῷ περιπάτῳ, ὅποι ποτὲ εἴη Πλάτων, ὑπώπτευε γὰρ αὐτὸν μαλακίζεσθαι. ὁ δὲ ἀπεκρίνατο, ἐκεῖνος μὲν ἐ νοσεῖ, ἐνοχλῶν δὲ αὐτον Ἀριστότελης παραχωρῆσαι πεποίηκε τῦ περιπάτυ, καὶ ἀναχωρήσας ἐν τῷ κήπῳ τῷ ἑαυτῦ φιλοσοφεῖ. ὁ δὲ Ξενοκράτης ἀκέσας, παραχρῆμα ἦκε πρὸς Πλάτωνα, καὶ κατέλαβε διαλεγόμενον τοῖς σὺν ἑαυτῷ. ἦσαν δὲ μάλα συχνοὶ, καὶ ἄξιοι λόγυ, καὶ οἱ μάλιστα δοκῦντες τῶν νέων ἐπιφανεῖς. ἐπεὶ δὲ ἐπαύσατο τῆς ὁμιλίας, ἠσπάσατό τε, ὡς τὸ εἰκὸς, τὸν Ξενοκράτην φιλανθρώπως, καὶ αὖ πάλιν ὁ Ξενοκράτης ἐκεῖνον ὁμοίως. διαλυθεισης δὲ τῆς συνεσίας, ἐδὲν ἔτε εἰπῶν πρὸς τὸν Πλάτωνα Ξενοκράτης, ἔτε ἀκέσας, συναγαγὼν τὰς ἑταίρας, καὶ τῷ Σπευσίππῳ πάνυ ἰσχυρῶς ἐπέπληξε, παραχωρήσαντι τῦ περιπάτυ Ἀριστοτέλει· αὐτός τε ἐπέθετο τῷ Σταγειρίτῃ κατὰ τὸ καρτερόν. καὶ εἰς τοσῦτον περιῆλθε φιλοτιμίας, ὡς ἐξελάσαι αὐτὸν, καὶ ἀποδῦναι τὰ σύνηθες χωρίον τῷ Πλάτωνι.

Κεφ.

Κεφ. κ'.

Περὶ Λυσάνδρυ, καὶ δώρων ἀνακομισθέντων αὐτῷ.

Λυσάνδρῳ τῷ Σπαρτιάτῃ εἰς Ἰωνίαν ἀφικομένῳ οἱ κατὰ τὴν Ἰωνίαν ξένοι πολλὰ μὲν καὶ ἄλλα ἀπέπεμψαν, αὐτὰρ ἔν καὶ βῦν, καὶ πλακῦντα. ὁ δὲ ἀπιδὼν εἰς τὸν πλακῦντα, ἤρετο, τί βέλεται τὸ πέμμα ἐκεῖνο εἶναι; ὁ δὲ κομίζων ἀπεκρίνατο, ὅτι ἐκ μέλιτος, καὶ τυρῦ, καὶ ἄλλων τινῶν κατεσκεύασται. ὁ δὲ Λύσανδρος, ἀλλὰ τῦτο μὲν (εἶπε) δότε τοῖς Εἵλωσι· ἐλευθέρυ γὰρ ἐκ ἔστι βρῶμα. τὸν δὲ βῦν προσέταξε κατὰ τὰ πάτρια σκευασθῆναι, καὶ ἐδείπνησεν ἡδέως.

Κεφ. κά.

Περὶ μεγαλοφροσύνης τῦ Θεμιστοκλέυς.

Ἔπαινέει ποτὲ ἐκ διδασκαλείυ παῖς ἔτι ὢν Θεμιστοκλῆς. εἶτα προσιόντος Περσισράτυ, ὁ παιδαγωγὸς ἔφη τῷ Θεμιστοκλεῖ, μικρὸν ἐκχωρῆσαι τῆς ὁδῦ, προσάγοντος τῦ τυράννυ· ὁ δὲ καὶ πάνυ ἐλευθερίως ἀπεκρίνατο. αὕτη γὰρ εἶπεν αὐτῷ ἐχ

ἱκανὴ

ἱκανὴ ὁδός; ἔτως ἄρα εὐγενές τι καὶ μεγαλόφρον ἐνεφάινετο τῷ Θεμιστοκλεῖ καὶ ἐξ ἐκείνε.

Κεφ. κβ'.

Περὶ τῆς τε Αἰνείε εὐσεβείας, καὶ τε τῶν Ἑλλήνων ἐλέες πρὸς τες Τρῶας.

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας, καὶ πάνυ ἑλληνικῶς τετο ἐκήρυξαν, ἕκαστον τῶν ἐλευθέρων ἓν ὅ, τι καὶ βέλεται τῶν οἰκείων ἀποφέρειν ἀράμενον. ὁ δὴν Αἰνείας τες πατρῴες θεὲς βασάσας ἔφερεν, ὑπεριδὼν τῶν ἄλλων. ἡθέντες δὴν ἐπὶ τῇ τε ἀνδρὸς εὐσεβείᾳ οἱ Ἕλληνες, καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώρησαν λαβεῖν· ὁ δὲ τὸν πατέρα πάνυ σφόδρα γεγηρακότα ἀναθέμενος ὤμοις ἔφερεν. ὑπερεκπλαγέντες δὴν καὶ ἐπὶ τετῳ ἐχ ἧκισα, πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέξησαν· ὁμολογῆντες, ὅτι πρὸς τες εὐσεβεῖς τῶν ἀνθρώπων, καὶ τες θεὲς καὶ τες γεναμένες δι' αἰδῆς ἄγοντας, καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίνονται.

Κεφ.

Κεφ. κγ'.

Περὶ Ἀλεξάνδρε.

Καλὰ μὲν δὴν Ἀλεξάνδρε τὰ ἐπὶ Γρανίκῳ, καὶ τὰ ἐπὶ Ἰσσῷ, καὶ ἡ πρὸς Ἀρβήλοις μάχη, καὶ Δαρεῖος ἥρημένος, καὶ Πέρσαι δελεύοντες Μακεδόσι. καλὰ δὲ καὶ τῆς ἄλλης ἁπάσης Ἀσίας ἡνικημένης. καὶ Ἰνδοὶ δὲ καὶ ἔτοι Ἀλεξάνδρῳ πειθόμενοι. καλὸν καὶ τὸ πρὸς τῇ Τύρῳ, καὶ τὰ ἐν Ὀξυδράκαις, καὶ τὰ ἄλλα αὐτε. τί γὰρ δεῖ νῦν ξενοχωρεῖν λόγε περιλαμβάνειν τοσαύτην ἀνδρὸς εἰς ὅπλα ἀρετήν; ἐγὼ δὲ καὶ τῆς τύχης Ἀλεξάνδρε ἀγαπῶσης τὰ πλεῖσα, εἴ τις εἴη δύσερις. καλὸς δὲ δὴν Ἀλέξανδρος, μὴ ἡττώμενος τῆς τύχης, μηδὲ πρὸς τὴν ἐξ αὐτῆς εἰς αὐτὸν προθυμίαν ἀπαγορεύων. ἐκεῖνα δὲ ὐκ ἔτι καλὰ Ἀλεξάνδρε. 1) Δι' ὃ μηνὸς, Φασὶ, πέμπτῃ ἔπινε παρ' Εὐμαίῳ. ἔτα ἑκτῃ ἐκάθευδεν ἐκ τε πότε. καὶ τοσετον ἐκείνης τῆς ἡμέρας ἔζησεν, ὅσον ἀναγκάς χρηματίσαι τοῖς ἡγεμόσιν ὑπὲρ τῆς αὔριον πορείας, λέγων, ὅτι ἔσαι πρωΐ. καὶ ἑβδόμῃ εἰσιάτο παρὰ Περδίκκα, καὶ ἔπινε πάλιν, καὶ ὀγδόῃ ἐκάθευδε, πέμπτῃ δὲ ἐπὶ δέκα τε αὐτε μηνὸς καὶ ταύτῃ

1) Δίε μηνός.

ταύτῃ ἔπινε, καὶ τῇ ἑπομένῃ τὰ εἰθισμένα ἔδρα, τὰ ἐν τῷ πότῳ. παρὰ Βαγώᾳ δὲ ἐδείπνησε τετράδι μετὰ εἰκάδα. ἀπεῖχε τῶν Βασιλείων ὁ Βαγώας οἶκος δέκα σταδίους· εἶτα τῇ τρίτῃ ἐκάδευδε. δυοῖν δὲ θάτερον, ἢ Ἀλέξανδρος κακῶς τοσούτας τοῦ μηνὸς ἡμέρας ἑαυτὸν ζημιοῖ διὰ τὸν οἶνον, ἢ οἱ ταῦτα γράψαντες ψεύδονται. ἔξεσι δὲ ἐκ τούτων ἐννοεῖν καὶ τὰ λοιπὰ χρόνια τὰ ὅμοια αὐτοὺς λέγοντας. ὧν καὶ Εὐμένης ὁ Καρδιανὸς καὶ ἐκεῖνός ἐσι.

Κεφ. κδ'.

Περὶ Φιλοκαλίας Ξενοφῶντος.

Ξενοφῶντι ἔμελε τῶν ἄλλων σπουδαίων, καὶ ἓν καὶ ὅπλα καλὰ ἔχειν. νικῶντι γάρ, ἔλεγε, τοὺς πολεμίους, τὴν καλλίστην στολὴν ἁρμόττειν. καὶ ἀποθνήσκοντα ἐν τῇ μάχῃ, κεῖσθαι καλῶς ἐν καλῇ τῇ πανοπλίᾳ. πῶς γὰρ ἀνδρὶ τῷ γενναίῳ ταῦτ' εἶναι τὰ ἐντάφια, τὰ ὡς ἀληθῶς κοσμοῦντα αὐτόν. λέγεται δὲ καὶ ὁ τοῦ Γρύλλου τὴν μὲν ἀσπίδα Ἀργολικὴν ἔχειν, τὸν δὲ θώρακα Ἀττικόν, τὸ δὲ κράνος Βοιωτιεργές, τὸν δὲ ἵππον Ἐπιδαύριον. Φιλοκάλου δὲ ἔγωγε οὐκ εἶναι φαίην τὰ τοιαῦτα ἀνδρὸς, καὶ ἀξιέντος ἑαυτὸν τῶν καλῶν. Κεφ.

Κεφ. κε.

Περὶ Λεωνίδου, καὶ τῶν τριακοσίων ἐθελοντὶ ὑπὲρ τῆς Ἑλλάδος ἀποθανόντων.

Ὁ Λεωνίδης ὁ Λακεδαιμόνιος, καὶ οἱ σὺν αὐτῷ τριακόσιοι, τὸν μαντευόμενον αὐτοῖς θάνατον εἵλοντο ἐν Πύλαις· καὶ ὑπὲρ τῆς Ἑλλάδος εὖ καὶ καλῶς ἀγωνισάμενοι τέλος ἔτυχον εὐκλεές. καὶ δόξαν ἑαυτοῖς ἀθάνατον ἀπέλιπον, καὶ φήμην ἀγαθὴν δι' αἰῶνος.

Κεφ. κς'.

Περὶ Πινδάρου τοῦ τυράννου.

Πίνδαρος ὁ Μέλανος υἱὸς, Ἀλυάττου δὲ θυγατριδοῦς τοῦ Λυδοῦ, διαδεξάμενος τὴν Ἐφεσίων τυραννίδα, πρὸς μὲν τὰς τιμωρίας πικρὸς ἦν, καὶ ἀπαραίτητος, τά γε μὴν ἄλλα ἐδόκει φιλόπαις εἶναι, καὶ σώφρων, καὶ τοῦ μὴ δουλεῦσαι τὴν πατρίδα τοῖς Βαρβάροις πολλὴν πρόνοιαν ἔθετο. ἔδειξε ταῦτα ἔτος ἔχων ἐκεῖνα δήπου. ἐπεὶ γὰρ Κροῖσος ὁ πρὸς μητρὸς αὐτοῦ θεῖος καταστρεφόμενος τὴν Ἰωνίαν, καὶ πρὸς τὸν Πίνδαρον πρεσβείαν ἀπέστειλεν, ἀξιῶν Ἐφε-

σίους

σίες ὑπ' αὐτῷ γενέσθαι. ὡς δ' ἐκ ἐπείσθη, ἐπολιόρκει τὴν πολιν Κροῖσος. ἐπεὶ δέ τις τῶν πύργων ἀνετράπη, ὁ κληθεὶς ὕστερον προδότης, καὶ ἐν ὀφθαλμοῖς ἑώρα τὸ δεινὸν, συνεβούλευεν ὁ Πίνδαρος Ἐφεσίοις, ἐκδήσαντας ἐκ τῶν πυλῶν καὶ τῶν 1) τριχῶν θώμιγγας συνάψαι τοῖς κίοσι τῷ τῆς Ἀρτέμιδος νεῷ, οἰονεὶ τὴν πόλιν ἀνάθημα ἐῶντας εἶναι τῇ Ἀρτέμιδι, ἀσυλίαν διὰ τέτων ἐπινοῶν τῇ Ἐφέσῳ. ὁ δὲ συνεβούλευε πρασελθόντας δεῖσθαι τῷ Λυδῷ· προβαλλομένων δὲ τὴν ἱκετηρίαν τῶν Ἐφεσίων, γελάσαντά φασι τὸν Κροῖσον, καὶ δεξάμενον πρᾴως τὸ στρατηγηθὲν, τοῖς μὲν Ἐφεσίοις συγχωρῆσαι τὴν μετ' ἐλευθερίας φυγήν· τῷ δὲ Πινδάρῳ προστάξαι τῆς πόλεως ἀπαλλάττεσθαι· ὁ δὲ ἐκ ἀντέπε. τῶν φίλων δὲ τὲς συναπαίρειν αὐτῷ βεληθέντας παραλαβὼν, τὸν υἱὸν καὶ τῆς ἀσίας τὸ πλεῖστον τῇ πόλει παρακαταθέμενος, καὶ ἕνα τῶν συνήθων Πασικλέα ἀποδείξας ἐπίτροπον, καὶ τῷ παιδὸς, καὶ τῶν χρημάτων, ἀπῆρεν εἰς Πελοπόννησον, τυραννικῷ βίῳ φυγὴν αὐθαίρετον ἀλλαξάμενος, ὑπὲρ τῷ μὴ ποιῆσαι τὴν πατρίδα ὑποχείριον Λυδοῖς. Κεφ.

1) τειχῶν.

Κεφ. κζ'.

Περὶ Πλάτωνος πενίας, καὶ πῶς 1) φιλοσοφίᾳ ἐπεχείρησεν.

Πέπυσμαι καὶ τῦτον τὸν λόγον. εἰ δὲ ἀληθής ἐσιν, ἐκ οἶδα. ὃ δ' ἂν πέπυσμαι, ἐκεῖνό ἐσι. Πλάτων ὁ Ἀρίσωνος ὑπὸ πενίας (φασὶ) καταπονέμενος ἔμελλεν ἐπὶ στρατείαν ἀποδημῆσαι· καταληφθεὶς δὲ ὑπὸ Σωκράτες ὠνέμενος ὅπλα ὁ Πλάτων, ἀνεχάλη τὴν ὁρμὴν, διαλεχθέντος αὐτῷ τῷ Σωκράτες, ἃ εἰκὸς ἦν, καὶ πείσαντος φιλοσοφίας ἐπιθυμῆσαι.

Κεφ. κή.

Πῶς ὁ Σωκράτης τὸν τῷ Ἀλκιβιάδε τύφον ἀνέσειλεν.

Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλέτῳ, καὶ μέγα φρονῦντα ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν 2) ἐπί τινα τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. ὡς δὲ εὗρε, προσέταξε τὲς ἀγρὲς τὲς ἰδίες διαθρῆσαι· τῷ δὲ εἰποντος, ἀλλ' ἐδαμῷ γεγραμμένοι εἰσὶν·

1) φιλοσοφίας. 2) εἴς.

εἰσίν. ἐπὶ τούτοις, εἶπε, μέγα φρονεῖς, οἵτινες ὀδὲν μέρος τῆς γῆς εἰσίν;

Κεφ. κθ'.

Περὶ Διογένους πενίας καὶ τύφου.

Διογένης ὁ Σινωπεὺς συνεχῶς ἐπέλεγεν ὑπὲρ ἑαυτοῦ, ὅτι τὰς ἐκ τῆς τραγῳδίας ἀρὰς αὐτὸς ἐκπληροῖ καὶ ὑπομένει. εἶναι γὰρ πλάνης, ἄοικος, πατρίδος ἐσερημένος, πτωχὸς, δυσείμων, βίον ἔχων τὸν ἐφήμερον. καὶ ὅμως ἐπὶ τούτοις μέγα ἐφρόνει ὀδὲν ἧττον, ἢ Ἀλέξανδρος ἐπὶ τῇ τῆς οἰκεμένης ἀρχῇ, ὅτε καὶ Ἰνδοὺς ἐλὼν εἰς Βαβυλῶνα ὑπέστρεψεν.

Κεφ. λ'.

Περὶ σωφρόνων τινῶν.

Ἀμοιβέας ὁ κιθαρῳδὸς σωφρονέστατος ἐλέγετο, καὶ γυναῖκα ὡραιοτάτην ἔχων μὴ ὁμιλεῖν αὐτῇ. καὶ Διογένης ὁ τῆς τραγῳδίας ὑποκριτής. Κλειτόμαχος δὲ ὁ παγκρατιαστὴς, εἴποτε καὶ κύνας εἶδε συμπλεκομένους, ἀπεστρέφετο. καὶ ἐν συμποσίῳ εἴ τις ἀφροδίσιος λόγος παρεῤῥύη, ἀναστὰς ἀπηλλάττετο.

Κεφ.

Κεφ. λά.

Περὶ Νικίου σπουδῆς περὶ τὴν ἰδίαν τέχνην.

Νικίας ὁ ζωγράφος τοσαύτην περὶ τὸ γράφειν σπουδὴν εἶχεν, ὡς ἐπιλαθέσθαι πολλάκις αὐτὸν τροφὴν προσενέγκασθαι προστετηκότα τῇ τέχνῃ.

Κεφ. λβ'.

Περὶ Ἀλεξάνδρου, καὶ Ἡρακλέους κιθαρίζειν μανθανόντων.

Ἀλέξανδρος ὁ Φιλίππου, παῖς ὢν, ἔπω πρόσηβος, ἐμάνθανε κιθαρίζειν. τοῦ δὲ διδάσκοντος κρέσσαι κελεύσαντος χορδήν τινα σὺν μέλει, καὶ ἣν ἀπήτει τὰ κιθαρίσματα· καὶ τί διοίσει, ἔφη, ἐὰν ταύτην κρέσσω; ἑτέραν δείξας. ὁ δὲ ὀδὲν ἔφη διαφέρειν τῷ μέλλοντι βασιλεύσειν, ἀλλὰ ὀκ ἐπὶ τέχνῃ κιθαρίζειν μέλλοντι. ἔδεισε δὲ ἄρα 1) ἔτος μὴ, ὢν ἀπαίδευτος, τὸ τοῦ Λίνου 2) πάθοι. τὸν γὰρ Ἡρακλέα ὁ Λῖνος ἔτι παῖδα ὄντα κιθαρίζειν ἐπαίδευεν· ἀμαθέστερον δὲ ἀπομένου τοῦ ὀργάνου, ἐχαλέπηνε πρὸς αὐτὸν ὁ Λῖνος. ὁ δὲ ἀγανακτήσας ὁ Ἡρακλῆς,

1) ἔτος, μὴ ὢν ἀ. 2) πάθος.

κλῆς, τῷ πλήκτρῳ τὸ Λίνου καθίκετο, καὶ ἀπέκτεινεν αὐτόν.

Κεφ. λγ'.

Περὶ Σατύρου τοῦ αὐλητοῦ.

Σάτυρος ὁ αὐλητὴς Ἀρίστωνος τοῦ Φιλοσόφου πολλάκις ἠκροᾶτο, καὶ κηλούμενος ἐκ τῶν λεγομένων, ἐπέλεγεν·

εἰ μὴ ἐγὼ τάδε τόξα φανῶ ἐν πυρὶ θεῖην;

τοὺς αὐλοὺς αἰνιττόμενος, καὶ τρόπον τινὰ τὴν τέχνην ἐκφαυλίζων παραβολῇ τῇ πρὸς Φιλοσοφίαν.

Κεφ. λδ'.

Νόμος Λάκωσι καὶ Ῥωμαίοις κοινός.

Ὅτι Λάκωσι καὶ Ῥωμαίοις νόμος ἦν, μὴ ἐξεῖναί τινι ὀψωνεῖν, μήτε ἃ βούλεται, μήτε ὅσα βούλεται. προσέταττον γὰρ διά τε τῶν ἄλλων σωφρονεῖν τοὺς πολίτας, καὶ διὰ τῆς τραπέζης ὀχ ἥκιστα.

Κεφ. λε.

Ὅτι ἐν τῇ Ἀκαδημίᾳ γελᾶν οὐκ ἐξῆν.

Λόγος δέ τις διαῤῥεῖ, καὶ ἔτος Ἀττικὸς, ὃς λέγει, πρότερον ἐν Ἀκαδημίᾳ μηδὲ γελάσαι ἐξουσίαν εἶναι. ὕβρει γὰρ καὶ ῥαθυμίᾳ ἐπειρῶντο τὸ χωρίον ἄβατον φυλαχθῆναι.

Κεφ. λς'.

Διὰ τί ὁ Ἀριστοτέλης ἀπέλιπε τὰς Ἀθήνας.

Ἀριστοτέλης, ὅτε ἀπέλιπε τὰς Ἀθήνας δέει τῆς κρίσεως, πρὸς τὸν ἐρόμενον αὐτὸν, τίς ἐστιν ἡ τῶν Ἀθηναίων πόλις; ἔφη, παγκάλη· ἀλλ' ἐν αὐτῇ

Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ.

τοὺς συκοφάντας λέγων. καὶ πρὸς τὸν ἐρόμενον, διά τί ἀπέλιπε τὰς Ἀθήνας; ἀπεκρίνατο, ὅτι οὐ βούλεται Ἀθηναίους δὶς ἐξαμαρτεῖν εἰς Φιλοσοφίαν· τὸ περὶ Σωκράτην πάθος αἰνιττόμενος, καὶ τὸν κατ' αὐτὸν κίνδυνον.

Κεφ. λζ'.

Νόμος Κείων κατὰ γερόντων.

Νόμος ἐστὶ Κείων· οἱ πάνυ παρ' αὐτοῖς γεγηρακότες, ὥσπερ ἐπὶ ξενίᾳ παρακαλέντες ἑαυτὸς, ἢ ἐπί τινα ἑορτασικὴν θυσίαν ἀνελθόντες, καὶ στεφανωσάμενοι, πίνουσι κώνειον, ὅταν ἑαυτοῖς συνειδῶσιν, ὅτι πρὸς τὰ ἔργα τὰ τῇ πατρίδι λυσιτελοῦντα ἄχρηστοί εἰσιν, ὑπολειπούσης ἤδη τι αὐτοῖς καὶ τῆς γνώμης διὰ τὸν χρόνον.

Κεφ. λή.

Εὑρισκόμενά τινα πρῶτον ἐν Ἀθήναις.

Ὅτι ἐν Ἀθήναις εὑρεθῆναι λέγεσι πρῶτον τὴν ἐλαίαν, καὶ τὴν συκῆν, ἃ καὶ πρῶτον ἡ γῆ ἀνέδωκε. δίκας τε δοῦναι, καὶ λαβεῖν εὖρον Ἀθηναῖοι πρῶτοι. καὶ ἀγῶνα τὸν διὰ τῶν σωμάτων πρῶτοι ἐπενόησαν, καὶ ἀπεδύσαντο, καὶ ἠλείψαντο· καὶ ἵππος ἔζευξε πρῶτος Ἐριχθόνιος.

Κεφ.

Κεφ. λθ'.

Τί τινες πάλαι ἤθιον.

Ὅτι Βυλάνες Ἀρκάδες, Ἀργεῖοι δ' ἀπίδες, Ἀθηναῖοι δὲ σῦκα, Τιρύνθιοι δὲ ἀχράδας δεῖπνον εἶχον, Ἰνδοὶ καλάμους, Καρμανοὶ Φοίνικας, λέγχρον δὲ Μαῦται καὶ Σαυρομάται, τέρμινθον δὲ καὶ κάρδαμον Πέρσαι.

Κεφ. μ'.

Περὶ Σατύρων, Τιτύρων, καὶ Σιληνῶν.

Ὅτι οἱ συγχορευταὶ Διονύσου Σάτυροι ἦσαν, οἱ ὑπ' ἐνίων Τίτυροι ὀνομαζόμενοι. ἔσχον δὲ τὸ ὄνομα ἐκ τῶν τερετισμάτων, οἷς χαίρουσι Σάτυροι. Σάτυροι δὲ ἀπὸ τοῦ σατυρίσαι. Σιληνοὶ δὲ ἀπὸ τοῦ σιλλαίνειν. τὸν δὲ σιλλὸν ψόγον λέγουσι μετὰ παιδιᾶς δυσαρέστου. ἐσθὴς δ' ἦν τοῖς Σιληνοῖς, ἀμφίμαλλοι χιτῶνες. αἰνίττεται δὲ ἡ σολὴ τὴν ἐκ τοῦ Διονύσου φυτείαν, καὶ τὰ τῶν οἰνάδων, καὶ τὰ τῶν κλημάτων δάση.

Κεφ. μά.

Πολλαὶ τῶ Διονύσω μετωνυμίαι.

Ὅτι τὸ πολυκαρπεῖν οἱ ἀρχαῖοι ὠνόμαζον Φλύειν. ὅθεν τὸν Διόνυσον Φλεῶνα ἐκάλεν, καὶ Προτρύγιν, καὶ Σταφυλίτην, καὶ Ὀμφακίτην, καὶ ἑτέρως πως διαφόρως.

Κεφ. μβ'.

Περί τινων μαινομένων γυναικῶν.

Ἔλεγε καὶ Κελαινὴ Πρόιτω θυγατέρας, μάχλας δὲ αὐτὰς ἡ τῆς Κύπρου βασιλὶς εἰργάσατο. ἐπὶ μέρους δὲ τῆς Πελοποννήσου καὶ ἔθραμόν φασι γυμναὶ μαινόμεναι. ἐξεφοίτησαν δὲ καὶ εἰς ἄλλας χώρας τῆς Ἑλλάδος, παραφοροι ὄσαι ὑπὸ τῆς νόσου. ἀκούω δὲ ὅτι καὶ ταῖς Λακεδαιμονίων γυναιξὶν ἔπεσέ τις οἶστρος βακχικὸς, καὶ ταῖς τῶν Χίων. καὶ αἱ τῶν Βοιωτῶν δὲ ὡς ἐνθεώτατοι ἐμάνησαν, καὶ ἡ τραγῳδία βοᾷ. μόνας δὲ ἀφηνιάσαι τῆς χορείας ταύτης λέγουσι τῶ Διονύσω τὰς Μινυῶν θυγατέρας, Λευκίππην, 1) Ἀρισίππην, καὶ Ἀλκιθόην. αἴτιον δὲ, ὅτι ἐπόθην τὸν γαμέτας, καὶ διὰ τοῦτο ἐκ ἐγένοντο τῷ θεῷ μαινάδες. ὁ δὲ

1) καὶ.

ὁ δὲ ὀργίζεται, καὶ αἱ μὲν περὶ τὸν ἴσον ἔσχον, καὶ ἐπονέντο περὶ τὴν Ἐργάνην εὖ μάλα φιλοτίμως. ἄφνω δὲ κιττοί τε καὶ ἄμπελοι τὸν ἴσον περιέρπον, καὶ τοῖς ταλάροις ἐνεφώλευον δράκοντες. ἐκ δὲ τῶν ὀρόφων ἔσταζον οἶνος καὶ γάλακτος σταγόνες. τὰς δὲ ἐδὲ ταῦτα ἀνέπεθεν ἐλθεῖν εἰς τὴν λατρείαν τοῦ δαίμονος. ἐνταῦθά τοι καὶ παῖδος εἰργάσαντο ἔξω Κιθαιρῶνος, ὃ μεῖον τοῦ ἐν Κιθαιρῶνι. τὸν γὰρ τῆς Λευκίππης παῖδα ἔτι ἀπαλὸν ὄντα, καὶ νεαρὸν, διεσπάσαντο, οἷα νεβρὸν, τῆς μανίας ἀρξάμεναι αἱ Μινυάδες, εἶτα ἐντεῦθεν ἐπὶ τὰς ἐξ ἀρχῆς ἦξαν 1) Μινυάδας. αἱ δὲ ἐδίωκον αὐτὰς διὰ τὸ ἄγος. ἐκ δὴ τέτων ἐγένοντο ὄρνιθες, καὶ ἡ μὲν ἤμειψε τὸ εἶδος εἰς κορώνην, ἡ δὲ εἰς νυκτερίδα, ἡ δὲ εἰς γλαῦκα.

Κεφ. μγ'.

Περὶ κιθαρῳδοῦ ὑπὸ τῶν Συβαριτῶν φονευθέντος.

Ἐν Συβάρει κιθαρῳδοῦ ἄδοντος ἐν τῇ ἀγωνίᾳ, ἣν ἐπετέλεν τῇ Ἥρᾳ, σασιασάντων ὑπὲρ αὐτοῦ τῶν Συβαριτῶν, καὶ τὰ ὅπλα λαβόντων ἐπ' ἀλλήλες, φοβηθεὶς

1) Μινυάδας.

ὁ κιθαρῳδὸς σὺν αὐτῇ σολῇ κατέφυγεν εἰς τὸν τῆς Ἥρας Βωμόν. οἱ δὲ ἐδὲ ἐνταῦθα ἐφείσαντο τῶ κιθαρῳδῶ. ὀλίγῳ δὲ ὕστερον ἐδόκει αἷμα ἐν τῷ τῆς Ἥρας ναῷ ἀναβρύειν, ὃδὲν ἔλαττον πηγῆς ἀενάου. Συβαρῖται δὲ ἔπεμψαν εἰς Δελφούς. ἡ δὲ Πυθία ἀπεκρίνατο· Βαῖν ἀπ' ἐμῶν τριπόδων, ἔτι τοι φόνος ἀμφὶ χέρεσσι, Πελὺς ἀποσάζων ἀπὸ λαΐνε ὀδῶ ἐρύκει. Οὐ σε θεμιτεύσω, Μεσσῶν θεράποντα κατέκτας, Ἥρης πρὸς βωμοῖσι, θεῶν τίσιν ἐκ ἀλεείνας. Τοῖς δὲ κακῶς ῥέξασι δίκης τέλος ἐχὶ χρονιτὸν, Οὐδ' ἀπαρκίτητον, ὃδ' εἰ Διὸς ἔγγονοι εἶεν· Ἀλλ' αὐτῶν κεφαλῇσι, καὶ ἐν σφετέροισι τέκεσσιν Εἰλεῖται, καὶ πῆμα δόμοις ἐπὶ πήματι βαίνει. ἡ δὲ δίκη ἐκ ἐθράδυνε. Κροτωνιάταις γὰρ 1) ἐναντία ὅπλα θέμενοι, ἀνάσατοι ὑπ' ἐκείνων ἐγένοντο, καὶ ἡ πόλις αὐτῶν ἠφανίθη.

Κεφ. μδ'.

Περί τινος δυναμένου βοηθεῖν τοῖς ἑτέροις, καὶ μὴ βοηθοῦντος· καὶ ἑτέρου βοηθοῦντος μὲν, ἀποτυχόντος δέ.

Νεανίσκοι τρεῖς εἰς Δελφοὺς ἀφικόμενοι θεωροὶ συμπολῖται κακούργοις συμπερι-

1) ἐναντίον.

περιτυγχάνουσιν. ὁ ἓν εἰς ἀπέδρα τὸς λῃσὰς, ὁ δὲ ἕτερος αὐτῶν συνεπλάκη τῷ λοιπῷ τῶν κακούργων, τῶν ἄλλων προαναλωθέντων. καὶ τὸν μὲν λῃστὴν ἥμαρτεν, ὥσε δὲ τὸ ξίφος κατὰ τὸν φίλον. τῷ ἀποδράντι ἓν ἡ Πυθία ἀνεῖλε τάδε· Ἀνδρὶ φίλῳ ἵνα κοντι παρὼν πέλας ἐκ ἐβοήθεις· Οὔ σε θεμιτεύσω, περικαλλέος ἔξιθι νηὸς. καὶ τῷ ἑτέρῳ δὲ ἀνεῖλε τάδε, ἐρομένῳ τὴν Πυθίαν· Ἔκτεινας τὸν ἑταῖρον ἀμύνων, ἓ σ' ἐμίανεν Αἷμα, πέλεις δὲ χέρας καθαρώτερος, ἢ πάρος ἦθα.

Κεφ. με.

Χρησμὸς Φιλίππῳ δοθείς.

Φιλίππῳ, φασὶ, χρηστήριον ἐκπεσεῖν ἐν Βοιωτοῖς ἐν Τροφωνίῳ, φυλάττεσθαι δεῖν τὸ ἅρμα. ἐκεῖνον ἓν δέει τὸν χρησμὸν, λόγος ἔχει μηδέποτε ἀναβῆναι ἅρμα. διπλοῦς ἓν ἐπὶ τούτοις ὑποῤῥεῖ λόγος. οἱ μὲν γὰρ φασι, τὸ τοῦ Παυσανίου ξίφος, ὧ τὸν Φίλιππον διεχρήσαλο, ἅρμα ἔχειν ἐπὶ τῆς λαβῆς διαγεγλυμμένον ἐλεφάντινον· ὁ δὲ ἕτερος, τὴν Θηβαϊκὴν, τὴν καλεμένην Ἅρμα, περιελθόντα λίμνην, ἀποσφαγῆναι.

ὁ μὲν πρῶτος λόγος, δημώδης· ὁ δὲ, ἐκ εἰς πάντας ἐξεφοίτησε.

Κεφ. μς'.

Νόμος Σταγειριτῶν.

Σταγειριτῶν νόμος ἔτος καὶ πάντη Ἑλληνικός. ὃ μὴ κατέθθ, φησὶ, μὴ λάμβανε.

Κεφ. μζ'.

Περὶ Τιμοθέου, καὶ ἄλλων ἐδὲν ὠφεληθέντων ὑπ' ἰδίας ἀνδραγαθίας.

Τιμόθεον τὰ μὲν πρῶτα ἐπῄνεν Ἀθηναῖοι. ἐπεὶ δὲ ἔδοξεν ἁμαρτεῖν ἃ ἔδοξεν, ἡ φθάνθσα αὐτὸν ἀνδραγαθία ἀλλ' ἐδὲ ὀλίγον ἔσωσεν, ἐδὲ μὴν αἱ τῶν προγόνων ἀρεταί. Θεμιστοκλῆς δὲ ἐδὲν ὤνητο, ἔτε ἐκ τῆς ναυμαχίας, τῆς περὶ Σαλαμῖνα, ἔτε ἐκ τῆς πρεσθείας τῆς εἰς Σπάρτην. λέγω δὲ ἣν ἐπρέσθευσε κλέπτων τὴν τῶν Ἀθηναίων τείχισιν. ἔφυγε γὰρ κἀκεῖνος ἃ τὰς Ἀθήνας μένον, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν. καὶ Παυσανίαν δὲ τὸν Λακεδαιμόνιον ἐδὲν ὤνησεν ἡ ἐν Πλαταιαῖς νίκη, ὑπὲρ

ὑπὲρ δὲ ὧν ἐν Βυζαντίῳ ἐκαινέργει, καὶ ἐνόσει Περσικὰ, ὑπὲρ τέτων διέφθειρε καὶ τὴν χάριν τὴν ἐπὶ τοῖς πρώτοις. Φωκίωνα δὲ ἡ εὐφημία ἡ καλέσα αὐτὸν Χρησὸν, ἐδὲν ὠφέλησεν, ἐδὲ τὰ πέντε καὶ ἑδομήκοντα ἔτη, ἅπερ ἓν διεθίωσεν ἐδὲν ἀδικήσας τὲς Ἀθηναίες ἐν βραχεῖ. ἐπεὶ δὲ ἔδοξεν Ἀντιπάτρῳ τὸν Πειραιᾶ προδιδόναι, Ἀθηναῖοι κατέγνωσαν αὐτῷ θάνατον.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Κεφάλαιον ά.

Ἐθνῶν ἔθη διάφορα.

Λέγει τις νόμος Λευκανῶν, ἐὰν ἡλίε δύνοντος ἀφίκηται ξένος, καὶ παρελθὼν ἐθελήσῃ εἰς σέγην τινὸς, εἶτα μὴ δέξηται τὸν ἄνδρα, ζημιᾶθαι αὐτὸν καὶ ὑπέχειν δίκας τῆς κακοξενίας. ἐμοὶ δοκεῖ, καὶ τῷ ἀφικομένῳ, καὶ τῷ Ξενίῳ Διΐ.

Ὅτι Σαρδανεῖς, τὲς 1) ὑπὸ τῆς Ἰλλυρίδος, ἀκέω τρὶς λέεσθαι μόνον παρὰ πάντα τὸν ἑαυτῶν βίον, ἐξ ὠδίνων, καὶ γαμῦντας, καὶ ἀποθανόντας.

Ἰνδοὶ ἔτε δανείζεσιν, ἔτε ἴσασι δανείζεσθαι· ἀλλ' ἐδὲ θέμις, ἄνδρα Ἰνδὸν ἔτε ἀδικῆσαι, ἔτε ἀδικηθῆναι. διὸ ἐδὲ ποιῆνται συγγραφὴν, ἢ παρακαταθήκην.

Νόμος ἐσὶ Σαρδῶος, τὲς ἤδη γεγηρακότας τῶν πατέρων οἱ παῖδες ξοπάλοις τύπτοντες ἀνῆρεν, καὶ ἔθαπτον, αἰσχρὸν ἡγέμενοι, τὸν λίαν ὑπέργηρων ὄιλα ζῆν ἔτι, ὡς πολλὰ ἁμαρτάνοντος τῦ σώματος τῦ διὰ τὸ γῆρας πεπονηκότος. τῶν δὲ αὐτῶν ἐσὶ νόμος τοιῦτος. ἀργίας ἦσαν δίκαι, καὶ τὸν εἰκῆ ζῶντα ἔδει κρίνεσθαι, καὶ διδόναι τὰς εὐθύνας, ἀποδεικνύντα, ὅθεν ζῇ.

Ἀσσύριοι τὰς ὡραίας γάμε παρθένες ἀθροίσαντες εἴς τινα πόλιν, ἀγοραν αὐτῶν πρακηρύτθσι. καὶ ἑκάσος, ἣν ἂν πρίηται, ἀπάγει νύμφην.

2) Βίβλιος ἀνὴρ ἐν ὁδῷ περιτυχὼν ἐδὲν ὧν μὴ κατέθετο ἀναιρεῖται· ἐ γὰρ ἡγεῖται τὸ τοιῦτον εὕρημα, ἀλλὰ ἀοίκημα.

Βερ-

1) ἀπὸ. 2) Βύβλιος.

1) Βερβίκιαι τὲς ὑπὲρ ἑβδομήκοντα ἔτη βεβιωκότας ἀποπέμπεσι, τὲς μὲν ἄνδρας καταθύοντες, ἀπάγχοντες δὲ τὰς γυναῖκας.

Κόλχοι δὲ τὲς νεκρὲς ἐν βύρσαις θάπτεσι, καὶ καταῤῥάψαντες, ἐκ τῶν δένδρων ἐξαρτῶσι.

Λυδοῖς ἦν ἔθος, πρὸ τῦ συνοικεῖν τὰς γυναῖκας ἀνδράσιν, ἑταιρεῖν. ἅπαξ δὲ καταζευχθεῖσας, σωφρονεῖν. τὴν δὲ ἁμαρτάσαν εἰς ἕτερον, συγγνώμης τυχεῖν ἀδύνατον ἦν.

Κεφ. Β'.

Περὶ Νικοσράτε 2) κιθαρισῦ διαφορᾶς πρὸς Λαόδοκον τὸν κιθαρωδόν.

Νικόσρατον τὸν κιθαρισὴν, λόγος τις περιέσει λέγων, Λαοδόκῳ τῷ κιθαρῳδῷ διαφερόμενον ὑπὲρ μεσικῆς εἰπεῖν, ὅτι ἆρα ἐκεῖνος μέν ἐσιν ἐν μεγάλῃ τῇ τέχνῃ μικρὸς, αὐτὸς δὲ ἐν μικρᾷ μέγας. ἆρόνον δὲ ἆρα ἐσὶ σεμνὸν οἰκίσιν αὐξησαι καὶ πλῆθος, ἀλλὰ γὰρ καὶ τέχνην. εἰ γέ τι δεῖ προσέχειν Νικοσράτῳ εὖ καὶ καλῶς τῦτο εἰπόντι.

1) Δερβίκιαι. 2) τῦ.

Κεφ. γ'.

Περὶ Πολυγνώτε καὶ Διονυσίε, γραφέων.

Πολύγνωτος ὁ Θάσιος καὶ Διονύσιος ὁ Κολοφώνιος γραφέε ἦσην· καὶ ὁ μὲν Πολύγνωτος ἔγραφε τὰ μεγάλα, καὶ ἐν τοῖς τελείοις ἐργάζετο τὰ ἄθλα· τὰ δὲ τῦ Διονυσίε, πλὴν τῦ μεγέθες, τὴν τῦ Πολυγνώτε τέχνην ἐμιμεῖτο εἰς τὴν ἀκρίβειαν, πάθος, καὶ ἦθος, καὶ 1) χήματος χρῆσιν, ἱματίων λεπτότητας, καὶ τὰ λοιπά.

Κεφ. δ'.

Νόμος Θηβαϊκὸς περὶ τεχνιτῶν καὶ γραφέων.

Ἀκέω κεῖθαι νόμον Θήβησι προστάττοντα τοῖς τεχνίταις, καὶ τοῖς γραφικοῖς, καὶ τοῖς πλαστικοῖς, εἰς τὸ κρεῖττον τὰς εἰκόνας μιμεῖθαι. ἀπειλεῖ δὲ ὁ νόμος τοῖς εἰς τὸ χεῖρόν ποτε ἢ πλάσασιν, ἢ γράψασι, ζημίαν τὸ τίμημα δραῶν.

Κεφ.

1) χημάτων.

Κεφ. ε'.

Τίνες εὐεργεσιῶν ἐμνήθησαν.

Εὐεργεσιῶν ἀπεμνήθησαν, καὶ χάριτας ὑπὲρ αὐτῶν ἀπέδοσαν, Θησεὺς μὲν Ἡρακλεῖ· Αἰδωνέως γὰρ αὐτὸν τῦ Μολοττῶν βασιλέως δήσαντος, ὅτε ἐπὶ τὴν γυναῖκα αὐτῦ ἦλθε μετὰ Πειρίθε ἁρπασόμενος αὐτήν ὁ Θησεὺς, (ἐχ ἑαυτῷ σπεδάζων τὸν γάμον, ἀλλὰ γὰρ τῇ τῦ Πειρίθε χάριτι τῦτο δράσας,) Ἡρακλῆς εἰς τὰς 1) Μολοσσοὺς ἀφικόμενος ἐρρύσαλο τὸν Θησέα. καὶ διὰ ταῦτα ἐκεῖνος αὐτῷ ζωμὸν ἀνέσησε. καὶ οἱ ἑπτὰ ἐπὶ 2) Θήβαις Πρώναχλι καὶ ἐκεῖνοι χάριτας ἀπέδοσαν. διὰ γὰρ αὐτὰς 3) ἀπολεμένε τῦ Πρώναχλος, τὸν ἀγῶνα ἔθεσαν ἐπ' αὐτόν, ὃν οἱ πολλοὶ ὀϊόλαι ἐπ' Ἀρχεμόρῳ τεθῆναι ἐξάρχω. καὶ Ἡρακλῆς δὲ χάριτας ἀπέδωκε Νέσορι. Νηλέως γὰρ αὐτὸν ἐ βελομένε καθῆραι, οἱ μὲν ἄλλοι παῖδες σύμψηφοι ἦσαν τῷ Νηλεῖ, ὁ δὲ Νέσωρ ἐχί. καὶ διὰ ταῦτα ἕλων τὴν πόλιν Ἡρακλῆς, τὸν μὲν Νηλέα καὶ τὰς ἄλλας παῖδας αὐτῦ ἀπέκτεινεν. ἕ μόνον δὲ ἐφείσαλο Νέσορος, ἀλλὰ καὶ τὴν βασιλείαν τὴν πατρῴαν ἔχειν ἔδωκε. καὶ Ἀθηναῖοι δὲ

1) Μολοττούς. 2) Θήβας. 3) ἀπολομένε.

δὲ παυδημεὶ τοῖς Ἡρακλέους ἀπογόνοις ἀπέτισαν χάριτας· ἐπεὶ γὰρ καὶ ἐκείνων ὁ προπάτωρ εὐεργέτης ἐγένετο τῶ Θησέως, οἱ Ἀθηναῖοι διὰ ταῦτα κατήγαγον αὐτὸς εἰς Πελοπόννησον. καὶ Ἡρακλῆς δὲ ἀπέδωκε χάριτας τοῖς ἐκ Κλεωνῶν τριακοσίοις καὶ ἑξήκοντα. τούτοις γὰρ ἐπὶ τοῖς Μολιονίδαις συστρατεύσασιν αὐτῶ, καὶ ἀποθανοῦσιν εὖ καὶ καλῶς, ἀπέστη τῶν ἐν Νεμέᾳ τιμῶν, ἃς ἔλαβε παρὰ τῶν Νεμέων, ὅτε τὸν ἐπιχωριάζοντα αὐτοῖς, καὶ λυμαινόμενον αὐτῶν τὰ ἔργα, ἐχειρώσατο λέοντα.

Καὶ Μενεσθεὺς δὲ ὁ Πετεῶο περὶ τὸς Τυνδαρίδας ἐκ ἐγένετο ἀχάριτος. 1) ἐκβαλόντες γὰρ ἐκεῖνοι τὸς Θησέως υἱὸς, καὶ τὴν μητέρα Θησέως Αἴθραν αἰχμάλωτον λαβόντες, ἔδωκαν τὴν βασιλείαν τῶ Μενεσθεῖ. διὰ ταῦτα πρῶτος ὁ Μενεσθεὺς ἄνακτάς τε καὶ σωτῆρας ὠνόμασε. καὶ Δαρεῖος δὲ ὁ Ὑστάσπε παρὰ Συλοσῶντος λαβὼν ἱμάτιον ἔτι ἰδιώτης ὢν, ὅτε ἐγκρατὴς ἐγένετο τῆς βασιλείας, ἔδωκεν αὐτῶ τῆς πατρίδος τὴν ἀρχὴν, τῆς Σάμε. χρύσεα χαλκείων φαίη τις ἄν.

ΚΕΦ.

1) ἐκβαλόντες.

ΚΕΦ. ε'.

Χρησμὸς ὑπὲρ τῶν Ἀθηναίων.

Ὅτι, νίκα ἐβάλοντο Λακεδαιμονίοις τὴν Ἀθηναίων ἀφανίσαι πόλιν, πρώτησαν τὸν θεὸν, καὶ ἀπεκρίνατο, τὴν κοινὴν ἐσίαν τῆς Ἑλλάδος μὴ κινεῖν.

ΚΕΦ. ς'.

Ὅτι ἐνίοτε μὲν μήτε ἐν θανάτῳ κακῶν ἐστιν ἀναπαῦσαι, καὶ περὶ Παυσανίου.

Οὐκ ἦν ἄρα τοῖς κακοῖς ἐδὲ τὸ ἀποθανεῖν πέρας, ἐπεὶ μηδὲ τότε ἀναπαύονται. ἀλλ' ἢ παντελῶς ἀμοίρους τὰς ψυχὰς, ἢ καὶ, ἐὰν φθάσωσι τὰ δεινὰ, ὅμως καὶ ἐν τῆς τελευταίας ζωῆς, καὶ τὸ κοινὸν πάντων σωμάτων ὁρμὲ, καὶ ἐκεῖθεν ἐκπίπτει. Λακεδαιμόνιοι γὰρ Παυσανίαν μηδίσαντα, καὶ μόνον λιμῶ ἀπέκτειναν, ἀλλὰ γὰρ καὶ τὸ νεκρὸν ἐξέβαλον αὐτῶ ἐκτὸς τῶν ὁρίων, φησὶν Ἐπιτιμήδης.

ΚΕΦ.

Κεφ. ή.

Περὶ μεταβολῆς τύχης.

Εἶτα τίς ἂν οὐδὲ τὰς τῆς τύχης μεταβολὰς ὀξυδερκὴς καὶ ταχείας; Λακεδαιμόνιοι 1) γὰρ Θηβαίων ἄρξαντες, αὐτοὶ πάλιν ὑπ' ἐκείνων ὕστερον ἐχειρώθησαν, ὡς τὲς Θηβαίους μὴ μόνον εἰς Πελοπόννησον ἀφικέσθαι, ἀλλὰ γὰρ καὶ τὸν Εὐρώταν διελθεῖν, καὶ τὴν τῶν Λακεδαιμονίων τεμεῖν χώραν· καὶ ὀλίγου καὶ τὴν πόλιν κατέλαβον, εἰ μὴ Ἐπαμεινώνδας ἔδεισε, μὴ Πελοποννήσιοι πάντες συμπνεύσωσι, καὶ ὑπὲρ τῆς Σπάρτης ἀγωνίσωνται.

Διονύσιος ὁ τύραννος καταίσας ὑπὸ Καρχηδονίων εἰς πολιορκίαν, εὐελπίας αὐτῷ σωτηρίας ὑποφαινομένης, αὐτὸς μὲν ἀθυμος ἦν, καὶ ὑπενόει δρασμόν· τῶν δὲ ἑταίρων αὐτῷ τις, Ἐλλοπίδης ὄνομα, προσελθὼν ἐρᾷτο· ὦ Διονύσιε, καλὸν ἐνταφιον ἡ τυραννίς. οὗτος θεὶς ἐν νῷ τὸν ἀνερρώθη τὴν γνώμην, καὶ σὺν ὀλίγοις παμπόλλες μυριάσας κατηγωνίσατο, ἀλλὰ καὶ τὴν ἀρχὴν μείζω ἐποίησε.

Καὶ

1) δὶς Θ.

Καὶ Ἀμύντας δὲ ὁ Μακεδὼν ἡττηθεὶς ὑπὸ τῶν περσοίκων βαρβάρων, καὶ ἀποβαλὼν τὴν ἀρχὴν, γνώμην μὲν εἶχεν ὡς καὶ ἀπολείψων τὴν χώραν τελέως. ἠγάπα γὰρ, εἰ δυνηθείη διασῶσαι αὐτὸν γε μόνον. ἐπεὶ δὲ ἐν τέτοις ἦν, ἔφατο τῷ πρὸς αὐτὸν τὴν Ἐλλοπίδα φωνῶν. καὶ μικρὸν χῶρον καταλαβὼν, καὶ ἀνδρείοις ὀλίγοις στρατιώτας, ἀνεστήσατο τὴν ἀρχήν.

Ὅτι τὸν Ὦχον οἱ Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ ὄνον ἐκάλεσε, τὸ γνῶθες αὐτῷ τῆς γνώμης εἰς τὴν ἀθενείαν τὸ ζῶον βαλλοντες. ἀνθ' ὧν ἐκεῖνος τὸν Ἄπιν πρὸς βίαν κατέθυσεν ὄνῳ.

Δίων ὁ Ἱππαρίνε, Φυγὰς ὢν ὑπὸ Διονυσίε, μετὰ δισχιλίων στρατιωτῶν αὐτὸς κατεπολεμήσεν. καὶ ὁ πρότερον αὐτὸς ἦν, τῦτο ἐκεῖνον εἰργάσατο, Φυγάδα.

Συρακέσιοι δὲ ἐννέα τριήρεσι πρὸς ἑκατὸν καὶ 1) εἴκοσι τὰς τῶν Καρχηδονίων παραταξάμενοι, κατὰ πολὺ ἐκράτησαν.

Κεφ.

1) πεντήκοντα.

Κεφ. θ'.

Περὶ Πλάτωνος ἀτυφίας, καὶ Ἀριστοτέλους ἀχαριστίας.

Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεστήσατο ἀγῶνα ἀνθρώποις, καὶ αὐτὸς ὢν αὐτοῖς ἀγωνιστής. ἔτους δὲ αὐτὸς ἐχειροτονήθη, καὶ ἀνεδήσατο τῇ συνέσει, συνιεὶς ὠφελείας τε αὐτοῖς ἀφθόνους, καὶ χρυσίου μείζονος ἐν πᾶσιν, ὡς ὑπερεθήγη τοὺς ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ, ὅτε δὲ Ἀκαδημίας ἐμέμνητο, ὅτε Σωκράτους. αὐτὸ γε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλοῦσιν Πλάτωνα. Διδάσκαλος μὲν γὰρ

Ἐπεὶ δὲ πλοῦν εἰς τὰς Ἀθήνας ἀπεδέξατο αὐτὸς εὖ μάλα φιλοφρόνως, καὶ οἱ ξένοι, ἄγε, εἶπον, ὦ Πλάτων, ἐπίδειξον ἡμῖν καὶ τὸν ὁμώνυμον σοὶ τὸν Σωκράτους ὁμιλητήν, καὶ ἐπὶ τὴν Ἀκαδημίαν ἤγησας τὴν ἐκείνου, καὶ 1) ἐπεσύσησαν τῷ ἀνδρὶ, ἵνα τί καὶ αὐτοῦ ἀπολαύσωμεν. ὁ δὲ ῥᾳθυμίᾳ ὑπομειδιάσας, ὥσπερ ἐν καὶ εἰώθει, ἀλλ' ἐγώ, φησὶν, αὐτὸς ἐκεῖνός εἰμι. οἱ δὲ ἐξεπλάγησαν, εἰ τὸν ἄνδρα ἔχοντες μεθ' ἑαυτῶν τὸν τοσοῦτον, ἠγνόησαν αὐτοῦ σφαλῶς αὐτῷ συγγενομένῳ καὶ ἀνεπιτηδεύτως αὐτοῖς,

1) ἀποσύσησον.

τοῖς, καὶ δείξαντος, ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων χειροῦσθαι τοὺς συνόντας.

1) Ὁ Πλάτων τὸν Ἀριστοκλέα ἐκάλει πῶγον. τί δὲ (βέλτιον 2) αὐτῷ τὸ ὄνομα ἐκεῖνο; ὁμολογοῦσι, τὸν πῶλον, ὅταν κορεσθῇ τοῦ μητρῴου γάλακτος, λακτίζειν τὴν μητέρα. ἠνίττετο δὴ καὶ ὁ Πλάτων ἀχαριστίαν τινὰ τοῦ Ἀριστοτέλους. καὶ γὰρ ἐκεῖνος τὰ μέγιστα εἰς Φιλοσοφίαν παρὰ Πλάτωνος λαβὼν σπέρματα καὶ ἐφόδια, εἶτα ὑποπλησθεὶς τῶν ἀρίστων, καὶ ἀφνιάσας, ἀντωκοδόμησεν αὐτῷ διατριβήν, καὶ ἀντιπαρεξήγαγεν ἐν τῷ περιπάτῳ ἑταίρους ἔχων, καὶ ὁμιλητὰς, καὶ ἐγλίχετο ἀντίπαλος εἶναι Πλάτωνι.

Κεφ. ι'.

Πῶς εἶχε πρὸς τὸν δῆμον τῶν Ἀθηναίων ὁ Περικλῆς.

Εἶτα ἦν 3) δῆμος τῶν Ἀθηναίων θεραπευτικὸς ὁ Ξανθίππου Περικλῆς; ἐμοὶ μὲν δοκεῖ. ὁσάκις γὰρ ἤμελλεν εἰς τὴν ἐκκλησίαν παριέναι, εὔχετο μηδὲν αὐτῷ ῥῆμα ἐπιστολάσαι τοιοῦτον, οἷόπερ ἐν ἤμελλεν ἐκτραχύνειν τὸν δῆμον, πρέσαντες αὐτῷ γενόμενον, καὶ ἀβέλητον δόξαν. Κεφ.

1) Ὅτι Πλ. 2) αὐτῷ. 3) τοῦ δ.

ΚΕΦ. ια'.

Περὶ Σωκράτες Φιλοπαλίας.

Διογένης ἔλεγε καὶ τὸν Σωκράτην αὐτοῦ τρυφῆσαι. περιεργάσθαι γὰρ καὶ πρὸς οἰκίδιον, καὶ τῷ σκιμποδίῳ, καὶ ταῖς βλαυταῖς δὲ, ἅσπερ ἐν ἔχρητο Σωκράτης ἔστιν ὅτε.

ΚΕΦ. ιβ'.

Περὶ Ἑλένης εἰκόνος ὑπὸ Ζεύξιδος γραφείσης.

Ὁ Ζεῦξις ὁ Ἡρακλεώτης, ὅτε τὴν Ἑλένην 1) ἔγραφε, πολλὰ ἐχρηματίσατο ἐκ τότε τε γραμμάτου· ἐ γὰρ ἐκή, καὶ ὡς ἔτυχε, τὰς βλωμένας 2) ἀνειδὴν εἶα ὁρᾶν αὐτὴν, ἀλλ' εἶδε ῥητὸν ἀργύριον καταβαλεῖν, εἶτα ἐτῶ θεάσασθαι, ὡς ἂν μίθωμα τῷ Ἡρακλεώτῃ λαμβάνοντος ὑπὲρ τῆς γραφῆς, ἐκάλεον οἱ τότε Ἕλληνες ἐκείνην τὴν Ἑλένην ἑταίραν.

ΚΕΦ. ιγ'.

Ἐπικήρες γνώμη καὶ εὐδαιμονία.

Ἐπίκηρος ὁ Γαργηττιος ἔλεγεν, ὦ ὀλίγον ἀλλ' ἱκανόν, ἀλλὰ τέτῳ γε οὐδὲν ἱκανόν. ὁ αὐτὸς

1) ἔγραψε. 2) ἀνέδην.

ὁ αὐτὸς ἔλεγεν ἑτοίμως ἔχειν, καὶ τῷ Διὶ περὶ εὐδαιμονίας διαγωνίζεσθαι, μᾶζαν ἔχων καὶ ὕδωρ. ταῦτ' ἂν ἐννοῶν ὁ Ἐπίκηρος, τί βελόμενος ἐπῄνει τὴν ἡδονήν, εἰσόμεθα ἄλλοτε.

ΚΕΦ. ιδ'.

Περὶ χρημάτων Φειδᾶς καὶ φυλακῆς.

Πολλάκις τὰ κατ' ὀβολὸν μετὰ πολλῶν πόνων συναχθέντα χρήματα, κατὰ τὸν Ἀρχίλοχον, εἰς πόρνης γυναικὸς ἔντερον κατῃρέσιν. ὥσπερ γὰρ ἐχίνου λεῖον μὲν ῥᾴδιον, σύνεχεν δὲ χαλεπὸν, οὕτω καὶ τὰ χρήματα. καὶ Ἀναξαγόρας ἐν τῷ περὶ Βασιλείας φησὶ, χαλεπὸν χρήματα συναγείρασθαι, χαλεπώτερον δὲ φυλακὴν τούτοις περιθεῖναι.

ΚΕΦ. ιε.

Περί τινων ἐν γόσῳ μεσικὴν, καὶ ἄλλα μεμαθηκότων, καὶ ἰχύρων γεγενημένων.

Ἱερωνά φασι, τὸν Σικελίας τύραννον, τὰ πρῶτα ἰδιώτην εἶναι, καὶ ἀνθρώπων ἀμε-

ἄμεσότατον, καὶ τὴν ἀγροικίαν ἀλλὰ μηδὲ κατ' ὀλίγον τῶ ἀδελφῶ διαφέρειν τῶ Γέλωνος. ἐπεὶ δὲ αὐτῶ συνηνέχθη νοσῆσαι, μεσικώτατος ἀνθρώπων ἐγένετο, τὴν χολὴν τὴν ἐκ τῆς ἀρρωστίας εἰς ἀκρόσματα πεπαιδευμένα καταθέμενος. ἰωθεὶς δὲ Ἱέρωνι συνῆν Σιμωνίδη τῶ Κείω, καὶ Πινδάρω τῶ Θηβαίω, καὶ Βακχυλίδη τῶ Ἰουλίτη. ὁ δὲ Γέλων ἄνθρωπος ἄμεσος.

Μεσικώτατον δὲ λέγεσι καὶ Πτολεμαῖον γενέσθαι τὸν δεύτερον, καὶ αὐτὸν νοσήσαντα. λέγεται δὲ καὶ Πλάτωνα, τὸν Θεόγνιν φιλοσοφῆσαι οὐδὲν ἄλλο, ἢ διὰ τὴν νοσηροφίαν. εἰργασμένον γὰρ αὐτὸν ἐκείνη τῶν πολιτικῶν, συνήλασεν εἰς τὸν τῆς σοφίας ἔρωτα. τίς δὲ ἂν νῶν ἔχων συνηνέχθη καὶ Ἀλκιβιάδη νόσον, καὶ Κριτία, καὶ Παυσανίᾳ τῶ Λακεδαιμονίω, καὶ ἄλλοις; Ἀλκιβιάδη μὲν καὶ Κριτία, ἵνα μὴ ἀποδεόντες Σωκράτες, ὁ μὲν ὑβριστὴς γένηται, καὶ ποτε μὲν φιλολάκων, ποτὲ δὲ βοιωτιάζη τὸν τρόπον, καὶ αὖ πάλιν θετταλίζη, καὶ τοῖς Μήδων καὶ Περσῶν ἀρέσκηται, ἐν Φαρναβάζῳ γενόμενος. τυραννικώτατος δὲ καὶ φονικώτατος ὁ Κριτίας γενόμενος, καὶ τὴν παλαίδα ἔλυπησε πολλα, καὶ αὐτὸς μισθμενος, τὸν βίον κατέσρεψε. Καὶ

Καὶ Στράτων δὲ ὁ Κορράγω εἰς δέον ἔοικε νοσῆσαι. εὖ γὰρ γένυς ἦκων, εὖ δὲ καὶ πλάτης, ὃκ ἐγυμνάζετο. καμῶν δὲ τὸν σπλῆνα, καὶ θεραπείας δεηθεὶς τῆς ἐκ τῶν γυμνασίων, τὰ μὲν πρῶτα, ὅσον ἐς τὸ ὑγιᾶναι, ἐχρῆτο αὐτοῖς. χωρῶν δὲ ἐς τὸ πρόσω τῆς τέχνης, καὶ ἐνεργῶ τιθέμενος αὐτὴν, Ὀλυμπιάσι μὲν ἐνίκησεν ἡμέρα μιᾶ πάλην, καὶ παγκράτιον, καὶ τῇ ἑξῆς Ὀλυμπιάδι, καὶ ἐν Νεμέᾳ δὲ, καὶ Πυθοῖ, καὶ Ἰσθμοῖ.

Δημοκράτης ὁ παλαιστὴς, καὶ αὐτὸς νοσήσας τὰς πόας, παριὼν εἰς τοὺς ἀγῶνας, καὶ σὰς ἐν τῷ σαδίῳ, περιγράφων ἑαυτῷ κύκλον, προσέταττε τοῖς ἀντιπαλαισταῖς ἔξω τῆς γραμμῆς αὐτὸν προέλκειν. οἱ δὲ ἠτιῶντο ἀδυνατοῦντες. ὁ δὲ εὐδιαβὰς ἐν τῇ σάσει καὶ ἐγκρατῶς, σεφανόμενος ἐπῆει.

Κεφ. ιε'.

Παλαιῶν τινων ἰδιότητες.

Ἐὰν προσέχῃ τις Καλλίᾳ, φιλοπότην αὐτὸν ἐργάσεται. ὁ Καλλίας· ἐὰν Ἰσμηνίᾳ, αὐλητήν· ἀλάζονα, ἐὰν Ἀλκιβιάδῃ· ὀψοφάγον, ἐὰν Κρωβύλῳ· δεινὸν εἰπεῖν, ἐὰν

ἐὰν Δημοσθένει σραληγικόν, ἐὰν Ἐπαμινώνδᾳ μεγαλόφρονα, ἐὰν Ἀγησιλάῳ καὶ χρηστόν, ἐὰν Φωκίωνι καὶ δίκαιον, ἐὰν Ἀριστείδῃ καὶ σοφόν, ἐὰν Σωκράτει.

Κεφ. ιζ'.

Πυθαγόρᾳ θαυμάσια καὶ δόξαι.

Ἐδίδασκε Πυθαγόρας τὰς ἀνθρώπους, ὅτι κρειττόνων γεγένηται σπερμάτων, ἢ κατὰ τὴν Φύσιν τὴν θνητήν. τῆς γὰρ αὐτῆς ἡμέρας ὤφθη καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐν Μεταποντίῳ 1) καὶ ἐν Κρότωνι. καὶ ἐν Ὀλυμπίᾳ δὲ παρέφηνε χρυσῆν τὸν ἕτερον τῶν μηρῶν. καὶ Μυλλίαν δὲ τὸν Κροτωνιάτην ὑπεμνησεν, ὅτι Μίδας ὁ Γορδίᾳ ἐξὶν ὁ Φρυξ. καὶ τὸν αἰετὸν δὲ τὸν λευκὸν κατελιπεν ὑπομεναντα αὐτόν. ἀλλα καὶ ὑπὸ τῆ Κρᾶσα τῆ ποταμῆ διαβάινων προσερρηθη, τῆ ποταμῆ εἰπόντος αὐτῷ, Χαῖρε Πυθαγόρα.

Ἔλεγε δὲ τελεωτάτον εἶναι τὸ τῆς μαλάχης φύλλον. ἔλεγεν ὅτι πάντων σοφώτατός ἐξιν ὁ ἀριθμὸς δεύτερος 2), ὁ τοῖς πράγμασι τὰ ὀνόματα θέμενος. καὶ τὸν σεισμὸν ἐγενεαλόγει ἐδὲν ἄλλο εἶναι, ἢ σύνοδον τῶν τεθνεώτων. ἡ δὲ ἶρις, ἔφασκεν, ὡς ἡ γῆ

2) φησὶ. 2) δὲ.

γῆ τῆ Νείλῃ ἐξὶ. καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος, φωνὴ τῶν κρειττόνων. ἐχ οἷόν τε δὲ ἦν διαπορῆσαί τινος αὐτῷ, ἢ τοῖς λεχθῆσί τι προσερωτῆσαι, ἀλλ', ὡς χρησμῷ θείῳ, ἕτως οἱ τότε προσεῖχον τοῖς λεγομένοις ὑπ' αὐτῆ. ἐπισρεφομένῃ δὲ τὰς πόλεις αὐτῆ, διέρρει λόγος, ὅτι Πυθαγόρας ἀφίκετο ἐ διδάξων, ἀλλ' ἰατρεύσων.

Προσεταττε δὲ ὁ αὐτὸς Πυθαγόρας καὶ δίας ἀπέχεσθαι, καὶ ἀλεκτρυόνος 1) λευκῆς, καὶ τῶν θνησειδίων, παντὸς μᾶλλον, καὶ μὴ χρῆσθαι βαλανείῳ, μηδὲ βαδίζειν 2) τὰς λεωφόρους. ἄδηλον γὰρ εἰ καθαρεύουσι καὶ αὐτὰ ἐκεῖνα.

Κεφ. ιη'.

Περὶ αἰδῦς καὶ τιμῆς τῆ Διονυσίῳ πρὸς Πλάτωνα.

Ὅτε κατῆλθε Πλάτων ἐν Σικελίᾳ κλητὸς, πολλὰ ἐπὶ πολλοῖς ἐπιξειλαῦτος τῆ Διονυσίῳ, καὶ ἀνήγαγεν αὐτὸν ἐπὶ τὸ ἅρμα ὁ νέος Διονύσιος, αὐτὸς μὲν ἡνιοχῶν, παραιβάτην δὲ ποιησάμενος τὸν Ἀρίσωνος. τότε 3) δὲ φασι Συρακόσιον ἄνδρα, χαριέντα,

1) λευκῆ. 2) τὰς. 3) δὴ.

καὶ τῶν Ὁμήρε μὴ ἀπαίδευτον, ἡθέντα τῇ ὄψει ταύτῃ, ἐπειπεῖν τὰ ἐξ Ἰλιάδος ἐκεῖνα, παρατρέψαντα ὀλίγον·

Μέγα δ' ἔβραχε Φήγινος ἄξων
Βριθοσύνῃ, δεινὸν γὰρ ἄγε βροτὸν, ἄνδρα τ' ἄριστον.

Ὅτι ὑπόπλης ὢν εἰς πάντας ὁ Διονύσιος, ὅμως εἰς Πλάτωνα τοσαύτην 1) εἶχεν αἰδὼ, ὡς ἐκεῖνον μόνον εἰσιέναι πρὸς αὐτὸν μὴ ἐρευνώμενον, καίτοι Δίωνος αὐτὸν ἐπισάμενος ἑταῖρον εἰς τὰ ἔσχατα εἶναι.

Κεφ. ιθ'.

Ὅτι παιδείαν ἐτίμησε Φίλιππος, καὶ περὶ Ἀριστοτέλους.

Φίλιππος ὁ Μακεδὼν ὃ μόνον ἐλέγετο τὰ πολεμικὰ εἶναι ἀγαθὸς, καὶ εἰπεῖν δεινὸς, ἀλλὰ καὶ παιδείαν ἀνθρωπικωτάτην ἐτίμα. Ἀριστοτέλει γὰρ χορηγήσας πλοῦτον ἀνενδεᾶ, ἐμπλεως γέγονε πολλῆς καὶ ἀλλης πολυμαθείας, ἀτὰρ ἔν καὶ τῆς γνώσεως τῆς κατὰ τὰ ζῶα. καὶ τὴν ἰσορίαν αὐτῶν ὁ τῷ Νικομάχῳ διὰ τὴν τῷ Φιλίππῳ περιουσίαν ἐκαρπώσατο. καὶ Πλάτωνα δὲ ἐτίμησε, καὶ Θεόφραστον.

Κεφ.

Κεφ. κ'.

Περὶ Δημοκρίτε, καὶ τῆς περὶ αὐτὸ, Θεοφράστε, Ἱπποκράτες, καὶ ἄλλων δόξης.

Δημόκριτον τὸν Ἀβδηρίτην λόγος ἔχει τὰ τε ἄλλα γενέσθαι σοφὸν, καὶ δὴ καὶ ἐπιθυμῆσαι λαθεῖν, καὶ ἐν ἐργῳ θέσθαι σοφόν. πάνυ τοίνυν διὰ ταῦτα τοι καὶ πολλὴν ἔπεισι γῆν. ἦλθεν ἐν καὶ πρὸς τοὺς Χαλδαίους (καὶ) εἰς Βαβυλῶνα, καὶ πρὸς τοὺς Μάγους, καὶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν. τὴν παρὰ τοῦ Δαμασίππου τοῦ πατρὸς οὐσίαν εἰς τρία μέρη διαιρήσας, τοῖς ἀδελφοῖς (δι' αὐτοῦ) τοῖς τρισὶ τὸ ἀργύριον μοῖραν λαβὼν ἐφόδιον τῆς ὁδοῦ, τὰ λοιπὰ τοῖς ἀδελφοῖς ἔασε. διὰ ταῦτά τοι καὶ Θεόφραστος αὐτὸν ἐπῄνει, ὅτι περιῆει κρείττονα ἀγέρμον ἀγείρων Μενελάου, καὶ Ὀδυσσέως. ἐκείνοιν μὲν γὰρ ἠλωντο αὐτοκέλευστα Φοινίκων ἐμπόρων μηδὲν διαφερόντων χρήματα γὰρ ἤθροιζον, καὶ τῆς περιοδοῦ, καὶ τοῦ περίπλου ταύτην εἶχον τὴν πρόφασιν. ὅτι οἱ Ἀβδηρῖται ἐκάλουν τὸν Δημόκριτον Φιλοσοφίαν· τὸν δὲ Πρωταγόραν, λόγον.

Κατεγέλα δὲ πάντων ὁ Δημόκριτος, καὶ ἔλεγεν αὐτὸς μαίνεσθαι, ὅθεν καὶ 1) Γελάσινον αὐτὸν ἐκάλεν οἱ πολῖται. λέγουσι δὲ οἱ αὐτοὶ τὸν Ἱπποκράτην περὶ τὴν πρώτην ἐντευξιν ὑπὲρ τοῦ Δημοκρίτου δόξαν λαβεῖν, ὡς μαινομένου· προϊόντος δὲ αὐτοῖς τῆς συνουσίας, εἰς ὑπερβολὴν θαυμάσαι τὸν ἄνδρα. Λέγουσι δὲ Δωριέα ὄντα τὸν Ἱπποκράτην, ἀλλ' ὅμως καὶ τοῦ Δημοκρίτου χάριν, τῇ Ἰάδι φωνῇ συγγράψαι τὰ συγγράμματα.

ΚΕΦ. κά.

Παιδικὰ Σωκράτους καὶ Πλάτωνος.

Ὅτι παιδικὰ ἐγένετο Σωκράτους μὲν Ἀλκιβιάδης, Πλάτωνος δὲ Δίων, ὁ μέν τοι Δίων καὶ ἀπώνητό τι τοῦ ἐρασθοῦ.

ΚΕΦ. κβ.

Περὶ Ἀθηναίων ἀβροσύνης.

Οἱ πάλαι Ἀθηναῖοι ἀλουργεῖ μὲν ἱματίῳ οὐκ ἐχοντο, ποικίλους δὲ ἐνεδύοντο χιτῶνας· κορυμβοὺς δὲ ἐναδόμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν, χρυσοῦς ἐνείροντες αὐταῖς τεττίγας, καὶ κόσμον ἄλλον προσθετὸν περιάπτομενοι χρυσοῦ, περιῆσαν. καὶ ὀκλαδίας αὐτοῖς δίφρους οἱ παῖδες ὑπέφερον, ἵνα

1) Γελασῖνον.

ἵνα μὴ καθίζωσιν ἑαυτοὺς εἰκῇ, καὶ ὡς ἔτυχε. δῆλον δὲ ὅτι καὶ ἡ τράπεζα ἦν αὐτοῖς, καὶ ἡ λοιπὴ δίαιτα ἁβροτέρα. οἱ τοιοῦτοι δὲ ὄντες τὴν ἐν Μαραθῶνι μάχην ἐνίκησαν.

ΚΕΦ. κγ'.

Περί τινων ἀσώτων.

Ὅτι Περικλέα, καὶ Καλλίαν τὸν Ἱππονίκου, καὶ Νικίαν τὸν Περγασῆθεν, τὰ σωτήρια ἀσωτευσάμενον καὶ ὁ πρὸς ἡδονὴν βίος εἰς ἀπορίαν περιέστησεν. ἐπεὶ γὰρ ἐπέλιπε τὰ χρήματα 1) αὐτοῖς, οἱ τρεῖς κώνειον τελευταῖον πρόποσιν, ἀλλήλοις προπίοντες, περὶ ἐκ συμποσίου ἀνέλυσαν.

ΚΕΦ.

Πῶς ἂν ἡ φιλία διαμένοι μάλιστα.

Λεωπρεπὴς ὁ Κεῖος, ὁ τοῦ Σιμωνίδου πατὴρ, ἔτυχέ ποτε ἐν παλαίστρᾳ καθήμενος, εἶτα μειρακίοις πρὸς ἀλλήλους οἰκειουμένοις ἐπιστὰς, τὸν ἄνδρα, πῶς ἂν αὐτοῖς ἡ φιλία διαμένοι μάλιστα, ἐπήρετο. ὁ δὲ εἶπεν· ἐὰν ταῖς ἀλλήλων ὀργαῖς ἐξισωθῆτε, καὶ μὴ ὁμάσε χωρῆντες τῷ θυμῷ, εἶτα παροξύνητε ἀλλήλους κατ' ἀλλήλων.

1) αὐτὰς.

ΚεΦ. κέ.

Περὶ Θρασύλλε παραδόξε μανίας.

Θρασύλλος ὁ Αἰξωνεὺς παράδοξον καὶ καινὴν ἐνόσησε μανίαν. ἀπολιπὼν γὰρ τὸ ἄστυ, καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ, καὶ ἐνταῦθα οἰκῶν, τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτῷ ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτὰ, καὶ αὖ πάλιν ἐξέπεμπε. καὶ τοῖς περισωζομένοις, καὶ εἰσιοῦσιν εἰς τὸν λιμένα ὑπερέχαιρε. χρόνες δὲ διετέλεσε πολλὲς συνοικῶν τῷ ἀῤῥωστήματι τούτῳ. ἐκ Σικελίας δὲ ἀναχθεὶς ὁ ἀδελφὸς αὐτῦ, παρέδωκεν αὐτὸν ἰατρῷ ἰάσασθαι, καὶ ἐπαύσατο τῆς νόσε 1) ἔτως. ἐμέμνητο δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς, καὶ ἔλεγε μηδέποτε ἡδῆναι τοσοῦτον, ὅσον τότε ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκούσαις ναυσὶν ἀποσωζομέναις.

ΚεΦ. κς'.

Περὶ Ἡλέκτρας.

Σάνθος, ὁ ποιητὴς τῶν μελῶν, ἐγένετο δὲ ἔτος πρεσβευτὴς Στησιχόρε τῦ Ἰμεραίε, λέγει τὴν Ἠλέκτραν τῦ Ἀγαμέμνονος ἔ τῦτο ἔχειν τὄνομα πρῶτον, ἀλλὰ Λαο-

1) ἔτος. ΗΣ

δίκην. ἐπεὶ δὲ Ἀγαμέμνων ἀνηρέθη, τὴν δὲ Κλυταιμνήστραν ὁ Αἴγισθος ἔγημε, καὶ ἐβασίλευσεν, ἀλέκτραν ἔσαν, καὶ καταγηράσαν παρθένον, Ἀργεῖοι Ἠλέκτραν ἐκάλεσαν, διὰ τὸ ἀμοιρεῖν ἀνδρὸς, καὶ μὴ πεπειρᾶσθαι λέκτρε.

ΚεΦ. κζ'.

Περὶ Παμφαᾶς δώρε, καὶ Διοτίμε.

Ὅτι Παμφαὴς ὁ Πριηνεὺς Κροίσῳ τῷ Λυδῷ, τῦ πατρὸς αὐτῦ περιόντος, τριακοντα μνᾶς ἐδανείσατο, παραλαβὼν δὲ τὴν ἀρχὴν, μέσην ἀμαξαν ἀργυρίε ἀπέπεμψεν αὐτῷ.

Ὅτι Διογένης λαξὼν παρὰ Διοτίμε τῦ Καρυστίε νομισμά ὀλίγον, ἔφη·

Σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς,
Ἄνδρά τε, καὶ οἶκον.

ἔδοκει δέ πως ὁ Διότιμος μαλθακώτερος εἶναι.

ΚεΦ. κή.

Ὅτι ὁ Φερεκύδης φθειρίασιν ἔπαθεν δι' ἀθεότητα.

Φερεκύδης ὁ Σύριος τὸν βίον ἀλγεινότατον ἀνθρώπων κατέσρεψε, τῦ παντὸς αὐτῷ

αὐτῷ σώματος ὑπὸ τῶν φθειρῶν ἀναλωθέντος, καὶ γενομένης αἰσχρᾶς αὐτῷ τῆς ὄψεως, τὴν ἐκ τῶν συνήθων ἐξέκλινε συνεσίαν. ὁποτέ δέ τις προσελθὼν ἐπυνθάνετο, ὅπως 1) διάγει; διὰ τῆς ὀπῆς τῆς κατὰ τὴν θύραν διείρας τὸν δακτύλον, μικρὸν γεγονότα τῆς σαρκὸς, ἐπέλεγεν αὐτῷ διακεῖσθαι καὶ τὸ πᾶν αὐτοῦ σῶμα. λέγεσι δὲ Δηλίων παῖδες, τὸν θεὸν τὸν ἐν Δήλῳ μηνίσαντα αὐτῷ, τοῦτο ποιῆσαι. καθήμενον γὰρ ἐν Δήλῳ μετὰ τῶν μαθητῶν, ἄλλα τε πολλὰ, φασὶ, περὶ τῆς ἑαυτοῦ σοφίας εἰπεῖν, καὶ δὴ καὶ τοῦτο, μηδενὶ τῶν θεῶν θῦσαι, καίτοι ἅπασιν ἡδέως βεβιωκέναι, καὶ ὀλυμπιονίκας, ὧν πλείω τῶν ἑκατόμβας καταθυόντων. ὑπὲρ ταύτης ἓν τῆς κενοφωνίας βαρυτάτην ζημίαν ἐξέτισεν.

Κεφ. κθ'.

2) Κόσμος εἶναι ἀπείρως γελοίως Ἀλέξανδρος ἐπίσευεν.

Οὐ γὰρ δὴ δύναμαι πείθειν ἐμαυτὸν, μὴ γελᾶν ἐπ' Ἀλεξάνδρῳ τῷ Φιλίππου, εἴγε ἀπείρους ἀνέων εἶναί τινας κόσμους, λέγον-

1) διάγοι. 2) Περὶ Ἀλεξάνδρου γελοίων. Οὐ γ. δ.

τος Δημοκρίτου ἐν τοῖς συγγράμμασιν, ὅθεν ἠνιᾶτο, μηδὲ τοῦ ἑνὸς καὶ κοινοῦ κρατῶν. πόσον δὲ ἐπ' αὐτῷ Δημόκριτος ἐγέλασε καὶ αὐτὸς, τί δεῖ καὶ λέγειν; ὦ ἔργον τοῦτο ἦν.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΒΙΟΣ

Κεφάλαιον.

Ὅτι Ταχὼς ὁ Αἰγύπτιος ἐν τῇ Περσῶν ἀρχῇ τελευτήσας.

Ταχὼς ὁ Αἰγύπτιος, ἕως μὲν ἐχρῆτο τῇ ἐπιχωρίῳ διαίτῃ, καὶ εὐτελῶς διεβίω, ὑγιεινότατος ἀνθρώπων διῆγεν. ἐπεὶ δὲ εἰς Πέρσας ἀφίκετο, καὶ εἰς τὴν ἐκείνων τρυφὴν ἐξέπεσε, τὸ ἄηθες τῶν σιτίων ἐκ ἐνεγκὼν, ὑπὸ δυσεντερίας τὸν βίον κατέστρεψε, καὶ τρυφῆς ἀλλαξάμενος θάνατον.

Κεφ. β'.

Φερεκύδης πῶς τέθνηκεν.

Ὅτι Φερεκύδης Πυθαγόρᾳ διδάσκαλος, ἐμπεσὼν εἰς τὴν ἀρρωστίαν, πρῶτον μὲν ἵδρᾳ ἱδρῶτα θερμὸν, ἴξωδη, ὅμοιον ὡς μύξαις, ὕστερον δὲ θηριώδη, μετὰ δὲ ἐφθειρίασε· καὶ διαλυομένων τῶν σαρκῶν εἰς τὰς φθεῖρας, ἐπεγένετο τῇ ξις, καὶ ἔτω τὸν βίον κατήλλαξε.

Κεφ. γ'.

Περὶ τῶν Ἡρακλείων σηλῶν.

Ἀριστοτέλης τὰς νῦν Ἡρακλείας σήλας καλουμένας, πρινὴ κληθῆναι τοῦτο, φησὶ Βριάρεω καλεῖσθαι αὐτάς. ἐπεὶ δὲ καθῆρε γῆν καὶ θάλασσαν Ἡρακλῆς, καὶ ἀναμφιλόγως εὐεργέτης ἐγένετο τῶν ἀνθρώπων, τιμῶντες αὐτὸν, τὴν μὲν Βριάρεω μνήμην παρ' ἐδὲν ἐποιήσαντο, Ἡρακλείας δὲ προσηγόρευσαν.

Κεφ. δ'.

Περὶ Φύων τινῶν ἐν Δήλῳ θαλλοῦ ὠῆς.

Ὅτι ἀναθῆλαι λόγος ἐσὶ Δήλιος Φυτὰ ἐν Δήλῳ, ἐλαίαν καὶ φοίνικα· ὧν ἁψάμενην τὴν Λητὼ, εὐθὺς ἀποκυῆσαι, τέως δὲ δυναμένην τοῦτο δράσαι.

Κεφ. ε'.

Περὶ Ἐπαμινώνδε ἀκτημοσύνης καὶ μεγαλοφροσύνης.

Ἐπαμινώνδας ἕνα εἶχε τρίβωνα, καὶ αὐτὸν ῥυπῶντα. εἴ ποτε δὲ αὐτὸν ἔδωκεν εἰς γναφεῖον, αὐτὸς ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρου. ἐν δὴ τούτοις τῆς περιουσίας ὢν, τοῦ Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺ χρυσίον, ἃ προσήκατο. καὶ εἴ τι ἐγὼ νοῶ, μεγαλοφρονέστερος ἦν τοῦ διδόντος ὁ μὴ λαβών.

Κεφ. ς'.

Περὶ Καλάνε ἐνθουσίας τελευτῆς.

Ἄξιον δὲ καὶ τὸ Καλάνε τοῦ Ἰνδοῦ τέλος ἐπαινέσαι, ἄλλος δ' οὐ εἶπεν ὅτι καὶ ἀγαθῆναι. ἐγένετο δὲ τοιοῦτον. Κάλανος ὁ Ἰνδῶν σοφιστὴς μακρὰ χαίρειν φράσας Ἀλεξάνδρῳ, καὶ Μακεδόσι, καὶ τῷ βίῳ, ὅτε ἐξελήλυθη ἀπολύσας αὐτὸν ἐκ τῶν τοῦ σώματος δεσμῶν, ἐπεγένητο μὲν ἡ πυρὰ ἐν τῷ καλλίστῳ προαστείῳ τῆς Βαβυλῶνος. καὶ ἦν τὰ ξύλα αὐα, καὶ πρὸς εὐωδίαν εὖ

μάλα ἐπίλεκτα, κέδρε, καὶ 1) θρύε, καὶ κυπαρίττε, καὶ μυρσίνης, καὶ δάφνης, αὐτὸς δὲ γυμνασάμενος γυμνάσιον τὸ εἰωθὸς, (ἦν δὲ αὐτὸ δρόμος,) ἀνελθὼν ἐπὶ μέσης τῆς πυρᾶς ἔστη ἐστεφανωμένος καλάμῃ κόμης. καὶ ὁ μὲν ἥλιος αὐτὸν προσέβαλλεν. ὁ δὲ αὐτὸν προσεκύνει. καὶ τοῦτο ἦν τὸ σύνθημα εἰς τὸ ἐξάπτειν τὴν πυρὰν τοῖς Μακεδόσι· καὶ τὸ μὲν ἐδράτο, ὁ δὲ περιληφθεὶς τῆς φλογὸς, ἀτρέπτως εἰστήκει, καὶ ἃ πρότερον ἀνετράπη, πρινὴ διελύθη. ἐνταῦθα, φασὶν, ἐκπλαγῆναι καὶ τὸν Ἀλέξανδρον, καὶ εἰπεῖν, ὅτι μείζονας ἀντιπάλους αὐτῷ Κάλανος κατηγωνίσατο. ὁ μὲν γὰρ πρὸς Πῶρον, καὶ Ταξίλην, καὶ Δαρεῖον διήθλησεν· ὁ δὲ Κάλανος, πρὸς τὸν πόνον, καὶ τὸν θάνατον.

Κεφ. ζ'.

Περὶ Ἀναχάρσιδος.

Οἱ μὲν Σκύθαι περὶ τὴν ἑαυτῶν πλανῶνται. Ἀνάχαρσις δὲ, ἅτε ἀνὴρ σοφὸς, καὶ περαιτέρω προήγαγε τὴν πλάνην. ἦκε γῆν εἰς τὴν Ἑλλάδα, καὶ ὁ Σόλων ἐθαύμασεν αὐτόν.

Κεφ.

1) θύε.

Κεφ. ή.

Πῶς τινες τὰ σκώμματα ἤνεγκαν.

Τὰ σκώμματα καὶ αἱ λοιδορίαι ἐδέν μοι δοκεῖ δύνασθαι. ἐὰν γὰρ σεμνὰς γνώμης λάβωνται, καταλέλυνται. ἐὰν δὲ ἀγεννὲς καὶ ταπεινῆς, ἴσχυσε· καὶ ἃ μόνον ἐλύπησε πολλάκις, ἀλλὰ καὶ ἀπέκτεινε. τούτων ἀπόδειξις ἐκεῖνα ἔσω· Σωκράτης μὲν ἓν κωμῳδούμενος, ἐγέλα· Πολίαγρος δὲ, ἀπήγξατο.

Κεφ. θ'.

Περὶ Ἀριστοτέλους.

Ἀριστοτέλης ἀσωτευσάμενος τὰ ἐκ τοῦ πατρὸς χρήματα, ὥρμησεν ἐπὶ στρατείαν. εἶτα ἀπαλλαττων κακῶς ἐν τούτῳ, Φαρμακοπώλης ἀνεφάνη. παρεισρυεὶς δὲ εἰς τὸν περίπατον, καὶ παρακόων τῶν λόγων, ἀμείνων πεφυκὼς πολλῶν, εἶτα ἕξιν περιεβάλετο, ἣν μετὰ ταῦτα ἐκτήσατο.

Κεφ.

Κεφ. ί.

Νεών τινων καὶ ὁπλιτῶν ἀριθμὸς, ὃς οἱ Ἀθηναῖοι ἀπώλεσαν.

Νήτην τὸν Ἀθηναῖοι εἰργάζοντο ἑαυτοῖς ἀεὶ φιλοπόνως, κατὰ χρόνους δὲ τὰ μὲν καλοῦντες, τὰ δὲ ἡτιώμενοι, ἀπώλεσαν τριήρεις μὲν ἐν Αἰγύπτῳ διακοσίας σὺν τοῖς πληρώμασι· περὶ Κύπρον δὲ πεντήκοντα καὶ ἑκατόν· ἐν Σικελίᾳ τεσσαράκοντα καὶ διακοσίας· ἐν δὲ Ἑλλησπόντῳ διακοσίας. ὁπλίται δὲ ἀπώλοντο αὐτοῖς ἐν Σικελίᾳ μυριάδες τέσσαρες, χίλιοι δὲ ἐν Χαιρωνείᾳ.

Κεφ. ιά.

Περὶ Θρᾳκῶν βασιλέως ὠμότητος κατὰ τῶν αὐτῷ υἱῶν.

Ὁ Θρᾳκῶν βασιλεὺς, (τὸ δὲ ὄνομα λεγέτω ἄλλος,) ὅτε ὁ Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν, εἰς Ῥοδόπην τὸ ὄρος ἀπέδρα· τοῖς δὲ ἐξ παισὶν αὐτῷ συνεβούλευεν μὴ στρατεύειν ἐπὶ τὴν Ἑλλάδα. δῆλον δὲ, ὅτι φιλέλλην ἦν ἀνήρ. οἱ δὲ οὐκ ἐπείθοντο· ὑποστρέψαντας δὲ αὐτοὺς πάντας ἐξετύφλωσε, μὴ ποιήσας ἑλληνικά.

Κεφ.

Κεφ. ιβ.

Ὅτι ὁ Δημάδης ἐζημιώθη, ψηφισαμένου θεὸν τὸν Ἀλέξανδρον.

Οὐ δύναμαι δὲ Ἀθηναίων μὴ οὐ φθονεῖν ταῦτα. ἐκκλησίας γὰρ οὔσης Ἀθηναίοις παρελθὼν ὁ Δημάδης, ἐψηφίσατο θεὸν τὸν Ἀλέξανδρον τρισκαιδέκατον. τῆς δὲ ἀσεβείας ὁ δῆμος τὸ ὑπερβάλλον μὴ ἐνεγκὼν, ζημίαν ἐτιμήσαντο τῷ Δημάδει τάλαντον ἑκατόν, ὅτι θνητὸν αὐτὸν δὴ τὸν Ἀλέξανδρον ὄντα ἐνέγραψε τοῖς Ὀλυμπίοις.

Κεφ.

Ὅτι οἱ Ἀθηναῖοι ἀγχίφρονες πρὸς νεωτερισμούς.

Ἦσαν δὲ ἄρα Ἀθηναῖοι δεινῶς εἰς τὰς πολιτείας εὐτραπελοι, καὶ ἐπιτήδειοι πρὸς τὰς μεταβολὰς παντὸς μᾶλλον. βασιλείαν μὲν γὰρ ἤνεγκαν σωφρόνως ἐπὶ Κέκροπος, καὶ Ἐρεχθέως, καὶ Θησέως, καὶ τῶν Κοδριδῶν κάτω. τυραννίδος ἐπειράθησαν ἐπὶ τῶν Πεισιστρατιδῶν· ἀριστοκρατίᾳ δὲ ἐχρήσαντο μέχρι τῶν τετρακοσίων. εἶτα ὕστερον δέκα τῶν πολιτῶν καθ' ἕκαστον

1) Δημάδη.

ἕκαστον ἔτος ἦρχον τῆς πόλεως. τελευταῖον δὲ ἐγένετο ἀναρχία περὶ τὴν τῶν τριάκοντα καλάσασιν. ταύτην δὲ τὴν ἔτως ἀγχίστροφον μεταβολὴν τὸ τρόπε, εἰ ἐπαινεῖν χρή, ἀλλὰ ἔγωγε τέτο ἐκ οἶδα.

Κεφ. ωδ'.

Νόμος Ἀτλικὸς περὶ σωμάτων ταφῆς, καὶ βοῶν σφαγῆς.

Νόμος καὶ ἔτος Ἀτλικός, ὃς ἂν ἀταφῶ περιτύχῃ σώματι ἀνθρώπε, πάντως ἐπιβάλλειν αὐτῷ γῆν, θάπτειν δὲ πρὸς δυσμὰς βλέποντας. καὶ τέτο δὲ ἦν φυλαττόμενον παρ' αὐτοῖς. βοῦν ἀροτῆν, καὶ ὑπὸ ζυγὸν πονήσαντα σὺν ἀρότρῳ, ἢ καὶ σὺν τῇ ἁμάξῃ, μηδὲ τέτον θύειν, ὅτι καὶ ἔτος εἴη ἂν γεωργὸς, καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός.

Κεφ. ιέ.

Δικασήρια ἐν Ἀθήναις περὶ τῶν σφαγέων.

Ὅτι δικασήρια ἦν Ἀτλικὰ, περὶ μὲν τῶν ἐκ προνοίας ἀποκτεινάντων, ἐν Ἀρείῳ πάγῳ· περὶ δὲ τῶν ἀκσίως, ἐν Παλλαδίῳ· περὶ δὲ τῶν κτείναι μὲν ὁμολογέντων, ἀμφισβητέντων δὲ ὅτι δικαίως, ἐπὶ Δελφινίῳ γίνονται αἱ εὐθύναι.

Κεφ. ιέ'.

Ὅτι παιδίον διὰ ἱεροσυλίαν θάνατον κατεψηφίσατο Ἀτλικὸν δικαστήριον.

Ὅτι ἐκ τῆς Ἀρτέμιδος σεφάνε πέταλον χρυσῆν ἐκπεσὸν ἀνέλεξε παιδίον, ἃ μὴν ἐλάθεν, οἱ ἐν δικασαῖ παιγνίδι, καὶ ἀσφαλάλες πρεσθήκαν τῷ παιδί, καὶ τὸ πέταλον· ὁ δὲ καὶ αὖθις ἐπὶ τὸν χρυσὸν κατηνέχθη, καὶ διὰ ταῦτα ἀπέκτειναν αὐτὸν ὡς θεασύλην, ἃ δόντες συγγνώμην τῇ ἡλικίᾳ, ἀλλὰ τιμωρησάμενοι διὰ τὴν πρᾶξιν.

Κεφ. ιζ'.

Περὶ Ἀθηναίων δεισιδαιμονίας.

Ὅτι τοσῦτον ἦν Ἀθηναίοις δεισιδαιμονίας, ἔ τις περινίδιον ἐξέκοψεν ἐξ Ἡρῴε, ἀπέκτειναν αὐτόν. ἀλλὰ καὶ Ἀτάρβην, ὅτι τῷ Ἀσκληπιῷ τὸν ἱερὸν σρεθὸν ἀπέκτεινε πατάξας, ἐκ ἀργῶς τέτε Ἀθηναῖοι παρεῖδον, ἀλλ' ἀπέκτειναν Ἀτάρβην, καὶ ἐκ ἔδοσαν ἔτε 1) ἀνίας συγγνώμην, ἔτε μανίας, πρεσβύτερα τέτων ἀμφοτέρων τὰ τῷ

1) ἀγνοίας.

τῷ θεῷ ποιησάμενοι. ἐλέγετο γὰρ ἀκουσίως, εἰ δὲ μεμηνὼς τοῦτο δρᾶσαι.

Κεφ. ιή.

Περὶ ἐγκύου γυναικὸς θανάτου καταψηφίσεως.

Ἡ ἐξ Ἀρείου πάγου βουλὴ, ἐπεί τινα Φαρμακίδα συνέλαβον, καὶ ἔμελλον θανατώσειν, ἣ πρῶτον αὐτὴν ἀπέκτειναν, πρινὴ ἀπεκύησεν. ὅ, τε καὶ συνελήφθη, ἔκυε. τὸ αἴτιον ἓν βρέφος ἀναλύοντες τῆς καταδίκης, τὴν αἰτίαν μόνην ἐδικαίωσαν τῷ θανάτῳ.

Κεφ. ιθ.

Αἰσχύλος ἀσεβείας ψηφισθεὶς πῶς διεσώθη.

Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι· ἕτοιμοι ἦν αὐτῶν Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, 1) Ἀμυνίας ὁ νεώτερος ἀδελφὸς, διακαλυψάμενος τὸ ἱμάτιον, ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ 2) Ἀμυνίας, ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τὸ ἀνδρὸς τὸ πάθος, ὑπε-

1) 2) Ἀμυνίας.

υπεμνήσθησαν τῶν ἔργων αὐτῷ, καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

Κεφ. κ. ΛΙΚΙΟΠ

Περὶ Ταραντίνων νησείας, καὶ Ῥηγίνων.

Ταραντίνων πολιορκεμένων ὑπὸ 1) Ῥωμαίων, καὶ μελλόντων ἀλῶναι λιμῷ, οἱ Ῥηγῖνοι ἐψηφίσαντο μίαν ἡμέραν ἐν ταῖς δέκα νησεύειν, καὶ 2) ἐκείνοις τὰς τροφὰς ἐκχωρῆσαι Ταραντίνοις. ἀποσάντων ἓν αὐτῶν ἐσώθησαν, καὶ μεμνημένοι τῷ πάθος, ἑορτὴν ἄγουσι τὴν καλουμένην Νησείαν οἱ Ταραντῖνοι.

Κεφ. κά.

Ὅτι ἡ Μήδεια τὰ οἰκεῖα τέκνα οὐκ ἀπέκτεινεν.

Λέγει τις λόγος, τὴν Φήμην τὴν κατὰ τῆς Μηδείας ψευδῆ εἶναι· μὴ γὰρ αὐτὴν ἀποκτεῖναι τὰ τέκνα, ἀλλὰ Κορινθίους. τὸ δὲ μυθολόγημα τοῦτο ὑπὲρ τῆς Κολχίδος, καὶ τὸ δρᾶμα, Εὐριπίδην φασὶ διαπλάσαι, δεηθέντων Κορινθίων, καὶ ἐπικρατῆσαι τῷ ἀληθῶς τὸ ψεῦδος διὰ τὴν τοῦ ποιητοῦ ἀρετήν. ὑπὲρ δὲ τοῦ τολμήματος φασι τῶν παίδων μέχρι τοῦ νῦν ἐναγίζουσι τοῖς παισὶ Κορίνθιοι, οἱονεὶ δαίμονι τούτοις ἀποδιδόντες.

1) Ἀθηναίων. 2) ἐκείνης.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Κεφάλαιον ά.

Περί τινων κατ' ἄλλων ὀργῆς, ἀπανθρωπίας, ὕβρεως, ἀδικίας, ἐπάρσεως.

Ἀθηναῖοι, κρατήσαντες Χαλκιδέων, κατεκληρέχησαν αὐτῶν τὴν γῆν εἰς 1) τεσσαρακόσια κλήρους, τὴν Ἱππόβοτον καλουμένην χώραν. τεμένη δὲ ἀνήκαν τῇ Ἀθηνᾷ ἐν τῷ Λιλάντῳ ὀνομαζομένῳ τόπῳ, τὴν δὲ λοιπὴν ἐμίσθωσαν, καὶ τὰς σήλας τὰς πρὸς τῇ βασιλείῳ στοᾷ ἔστησαν, αἱ περὶ τῶν μισθώσεων ὑπομνήματα εἶχον. τὸς δὲ ἀποικήσαντας ἔδησαν, καὶ ἐδὲ ἐνταῦθα ἔσβεσαν τὸν κατὰ Χαλκιδέων θυμόν.

Λακεδαιμόνιοι Μεσσηνίων κρατήσαντες, τῶν μὲν γινομένων ἁπάντων ἐν τῇ Μεσσηνίᾳ τὰ ἡμίσια ἐλάμβανον αὐτοί, καὶ τὰς γυναῖ-

1) διχιλίους κλ.

γυναῖκας τὰς ἐλευθέρας εἰς τὰ πένθη βαδίζειν ἠνάγκαζον, καὶ τὸς ἀλλοτρίους, καὶ μηδὲν σφίσι προσήκοντας, νεκρὸς κλαίειν. τὸς δὲ τῶν ἀνδρῶν ἀπέλιπον γεωργεῖν, ὃς δὲ ἀπέδοντο, ὃς δὲ ἀπέκτειναν.

Ἀθηναῖοι δὲ ὕβρισαν καὶ ἐκείνην τὴν ὕβριν· εὐτυχίας γὰρ λαβόμενοι, τὴν εὐπραγίαν σωφρόνως οὐκ ἤνεγκαν. τὰς γὰρ παρθένους τῶν μετοίκων σκιαδηφορεῖν ἐν ταῖς πομπαῖς ἠνάγκαζον ταῖς ἑαυτῶν κόραις, τὰς δὲ γυναῖκας ταῖς γυναιξὶ, τὸς δὲ ἄνδρας σκαφηφορεῖν.

Σικυώνιοι δὲ Πελλήνην ἑλόντες, τάς τε γυναῖκας τῶν Πελληνέων καὶ τὰς θυγατέρας ἐπ' οἰκήματος ἔσησαν. ἀγριώτατα ταῦτα, ὦ θεοὶ Ἑλλήνιοι, καὶ ἐδὲ ἐν βαρβάροις καλὰ, κατά γε τὴν ἐμὴν μνείαν.

Ἐπεὶ τὴν ἐν Χαιρωνείᾳ μάχην ἐνίκησεν ὁ Φίλιππος, ἐπὶ τῷ πραχθέντι αὐτός τε ἤρτο, καὶ οἱ Μακεδόνες πάντες. οἱ δὲ Ἕλληνες δεινῶς αὐτὸν κατέπληξαν, καὶ ἑαυτὲς κατὰ πόλεις ἐνεχείρισαν αὐτῷ φέροντες. καὶ τοῦτό γε ἔδρασαν Θηβαῖοι, καὶ Μεγαρεῖς, καὶ Κορίνθιοι, καὶ Ἀχαιοὶ, καὶ Ἠλεῖοι, καὶ Εὐβοεῖς, οἱ ἐν τῇ 1) ἀκτῇ πάντες. ἐ μὴν ἐφύλαξε τὰς πρὸς αὐτὲς ὁμολογίας ὁ Φί-

1) Ἀκτῇ (Attae).

ὁ Φίλιππος, ἀλλ' ἐδελώσατο πάντας, ἔνδικα καὶ παράνομα δρῶν.

Κεφ. β'.

Περὶ ἀνδρείας τοῦ υἱοῦ τοῦ Ἀριστείδου.

Ὁ Ἀριστείδης τὸν Θεσπιέως παῖς παραγενόμενος σύμμαχος Ἀθηναίοις μετὰ καὶ ἄλλων πολίων, τὰ μὲν πρῶτα ἐμάχετο εὖ καὶ καλῶς· καταναλωθέντων δὲ αὐτῷ τῶν ὅπλων, χείλαις ταῖς χερσὶ πρὸς καθωπλισμένους ἀγωνιζόμενος, εὐκλεῶς τὸν βίον ἐτελεύτα. πατρόθεν ἦν τὸν νεανίαν προσεῖπον, κυδαίνων αὐτὸν Ὁμηρικῶς. τὸ δὲ ὄνομα αὐτοῦ εἴτ' ἐπιμελὲς εἰδέναι, ἀλλαχόθεν εἴσεται.

Κεφ. γ'.

Περὶ Ἰσάδα παιδός.

Ὅτι Λακεδαιμόνιοι Ἰσάδαν, ἔτι παῖδα ὄντα, καὶ μήπω τὸ νόμιμον κάλλιστος αὐτὸν εἰς ὅπλα, ὅτι ἐκ τοῦ γυμνασίου ἐκπηδήσας ἠρίζετο, ἐστεφάνωσαν μὲν· ὅτι δὲ πρὸ τῆς ἀπαιτουμένης ἡλικίας, καὶ μὴ τὰ ἐπιχώρια ἔχων ὅπλα ὥρμησεν εἰς τοὺς ἐχθρούς, ἐζημίωσαν.

Κεφ.

Κεφ. δ'.

Περὶ τοῦ τὴν Λυσάνδρου θυγατέρα ἐγγυήσαμένου.

Ὁ μὲν Λύσανδρος ἐτεθνήκει· ὁ δὲ τὴν θυγατέρα αὐτοῦ ἔτι ζῶντος ἐγγυησάμενος, ἐπεὶ καὶ ἡ παῖς ἔρημα πατρὸς ἀπελείπετο, καὶ ὁ Λύσανδρος μετὰ τὴν τοῦ βίου κατάστασιν ἀνεθάνη πένης ὤν, οὐδὲ ἀνεδύετο ὁ ἐγγυησάμενος, καὶ ἔδε ἔφασκεν ἄξεσθαι γυναῖκα. ἐπὶ τούτοις οἱ ἔφοροι τὸν ἄνδρα ἐζημίωσαν. ἔστε γὰρ Λακωνικὰ ἔφρονει, ἔστε ἄλλως Ἑλληνικὰ. φίλου τε ἀποθανόντος ἀμνημόνων, καὶ τῶν συνθηκῶν τὸν πλοῦτον προτιμῶν.

Κεφ. ε'.

Περὶ Ἀθηναίων πρέσβεων.

Ὅτι Ἀθηναῖοι τοὺς εἰς Ἀρκαδίαν ἀποσταλέντας πρεσβευτὰς, ἐπεὶ ἑτέραν ὁδὸν ἦλθον, καὶ ἃ τὴν προστεταγμένην, καί τοι κατορθώσαντας, ὅμως ἀπέκτειναν.

Κεφ. ε'.

Λακωνικοὶ νόμοι.

Ἦ γὰρ δὴ καὶ ταῦτα Λακωνικά; νόμος ἐστὶ τοῖς Σπαρτιάταις, τὸν παραχρῆμα τεκόμενον υἱὸν τρεῖς ἀτέλειαν ἔχειν φρεγῶς· τὸν δὲ πέντε, πασῶν τῶν λειτουργιῶν ἀφεῖσθαι. γαμεῖν δὲ ἀπροικὸς ἔτι βάναυσον δὲ εἰδέναι τέχνην ἄνδρα Λακεδαιμόνιον οὐκ ἔξην. φοινικίδα δὲ ἀμπέχεσθαι κατὰ τὰς μάχας ἀνάγκη ἦν. ἔχειν δὲ τὴν χρόαν καὶ σεμνότητός τι. πρὸς ταύτῃ δὲ μὴν καὶ τὴν ῥῦσιν τῶν ἐπιγενομένων αἱμάτων ἐκ τῶν τραυμάτων ἔτι 1) γε μᾶλλον ἐκπλήττειν τοὺς ἀντιπάλους, βαθυτέρας τῆς ὄψεως γινομένης, καὶ φοβερωτέρας μᾶλλον.

Ὅτι ἐκ ἐξῆν ἀνδρὶ Λάκωνι ἐδὲ σκυλεῦσαι τὸν πολέμιον. οἱ δὲ καλῶς ἀγωνισάμενοι καὶ ἀποθανόντες, θαλλοῖς ἐστεφοῦντο, καὶ κλάδοις ἐτέρβις, καὶ δι' ἐπαίνων ἤγοντο. οἱ δὲ τελέως ἀρισεύσαντες, καὶ Φοινικίδος αὐτοῖς ἐπιβληθείσης ἐνδόξως ἐθάπτοντο.

Κεφ.

1) δὲ μ.

Κεφ. ζ'.

Περὶ σεισμῶ τῇ Σπάρτῃ ἐπιπεσόντος.

Ὅτε οἱ Λακεδαιμόνιοι τὰς ἐκ Ταινάρου 1) εἰκέτας παρασπονδήσαντες ἀνέσησαν, καὶ ἀπέκτειναν, (ἦσαν δὲ οἰκέται τῶν Εἱλώτων.) κατὰ μῆνιν τοῦ Ποσειδῶνος, σεισμὸς ἐπιπεσὼν τῇ Σπάρτῃ τὴν πόλιν ἀνδρειοτάτα καλέσεισεν, ὡς πέντε μόνας ἀπολειφθῆναι οἰκίας ἐξ ἁπάσης τῆς πόλεως.

Κεφ. η'.

Περὶ Ἀρταξέρξου ἀναιρέσεως.

Ἀρταξέρξην, τὸν καὶ Ὦχον ἐπικληθέντα, ὅτε ἐπεβούλευσεν αὐτῷ Βαγώας ὁ εὐνοῦχος, ὃς ἦν Αἰγύπτιος, φασὶν ἀναιρεθέντα καὶ κατακοπέντα τοῖς αἰλούροις παραβληθῆναι. ἐτάφη δέ τις ἄλλος ἀντ' αὐτοῦ, καὶ ἀπεδόθη ταῖς βασιλικαῖς θήκαις. θεοσυλίαν μὲν τῷ Ὤχου καὶ ἄλλαι μὲν λέγονται, καὶ μάλιστα κατὰ τὴν Αἴγυπτον· τῷ δὲ Βαγώᾳ οὐκ ἀπέχρησε τὸ ἀποκτεῖναι τὸν Ὦχον. ἀλλὰ γὰρ καὶ ἐκ τῶν μηρῶν αὐτοῦ λαβὰς μαχαιρῶν ἐποίησε, τὸ φονικὸν αὐτοῦ ἐνδεικνύμενος διὰ τούτων.

1) εἰκέτας.

ἐμίσησε δὲ αὐτὸν, ἐπεὶ τὸν Ἄπιν ἐν Αἰγύπτῳ γενόμενος ἀπέκτεινε καὶ ἔθος, ὡς ὁ Καμβύσης πρότερον.

Κεφ. θ'.

Περὶ θησαυρῶ ὑπὸ Δελφῶν ζητωμένω ἐν Πυθοῖ.

Ἐπεὶ καὶ ἐκ τῶν Ὁμήρω ποιημάτων ἦκεν εἰς Δελφὰς λέγουσα δόξα, παλαιόπλουτον εἶναι τὸ τῦ Ἀπόλλωνος χωρίον, ἐν τοῖς ἔπεσιν ἐκείνοις

Οὐδ' ὅσα λάϊνος ἕδος Ἀφήτορος ἐντὸς ἔέργει
Φοίβω Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ.

τὰς Δελφὰς ἐπιχειρήσαι διασκάπτειν λόγος ἔχει τὰ περὶ τὴν ἑσίαν, καὶ τὸν τρίποδα γενομένων δὲ σεισμῶν περὶ τὸ μαντεῖον ἀνδρικῶν, παύσασθαι σωφρονήσαντας.

Κεφ. ι'.

Νόμος περὶ ἀσῶν παρὰ Περικλέους τεθείς.

Περικλῆς στρατηγῶν Ἀθηναίοις νόμον ἔγραψεν, ἐὰν μὴ τύχῃ τις ἐξ ἀμφοῖν ὑπάρχων ἀστῶν, τούτῳ μὴ μετεῖναι τῆς πολιτείας.

ἐδεὶς δὲ τῶν ἀπ' αὐτῦ ταφῆς τῆς νομιζομένης ἔτυχεν. οἱ μὲν γὰρ ζῶντες κατεκαύθησαν, οἱ δὲ κατατμηθέντες εἰς τὸ πέλαγος ἐξερρίφησαν. τοῦτο δὲ ἀπήντησεν αὐτῷ, Δίωνος τῦ Ἱππαρίνω ἐπιθεμένου τῇ ἀρχῇ. αὐτὸς δὲ ἐν πενίᾳ μυρίᾳ διαγῶν καταέρεψε τὸν βίον γηραιός.

Λέγει δὲ Θεόπομπος, ὑπὸ τῆς ἀκρατοποσίας τῆς ἄγαν αὐτὸν διαφθαρῆναι τὰς ὄψεις, ὡς ἀμυδρὸν βλέπειν. ἀποκαθῆσθαι δὲ ἐν τοῖς κηρείοις, καὶ γελωτοποιεῖν. καὶ ἐν τῷ μεσαιτάτῳ τῆς Ἑλλάδος ἀχνυμένων διετέλει, βίον διαντλῶν ἀλγεινότατον. καὶ ἦν δεῖγμα ἓ τὸ τυχόντας ἀνθρώποις εἰς σωφροσύνην καὶ τρόπον κόσμου ἡ τῦ Διονυσίῳ ἐκ τῶν τηλικούτων εἰς ἔτω ταπεινὴ μεταβολή.

Κεφ. ιγ'.

Περὶ τυραννίδων, αἱ εἰς ἐγγόνους ἐν Ἑλλάδι διήκεσαν.

Καλῶς τὸ δαιμόνιον ἐπὶ τριγονίαν τυραννίδας μὴ ἄγον, ἀλλὰ ἢ παραχρῆμα ἐκτρίβον τὰς τυράννους πίτυος δίκην, ἢ παίδων ἐξιχνύον.

Μνημονεύουσι δὲ ὑφ' Ἑλλήνων ἐξ αἰῶνος,

καὶ εἰς ἐγγόνες διαρκέσαι αἵδε. ἥτε Γέλωνος ἐν Σικελίᾳ, καὶ ἡ τῶν Λευκανίων 1) περὶ Βόσπορον, καὶ ἡ τῶν 2) Κυψελιδῶν ἐν Κορίνθῳ.

Κεφ. ιβ'.

Περὶ Δαρείου ἐπιβουλευθέντος.

Ἠμερώτατον δὲ Δαρείου τοῦτο τὸ ἔργον ἀκούω τῶν παιδὸς τοῦ Ὑστάσπου. Ἀριόβαζος ὁ Ὑρκανὸς ἐπεβούλευσεν αὐτῷ, μετὰ καὶ ἄλλων ἀνδρῶν ἐκ ἀφανῶν τῶν ἐν Πέρσαις. ἦν δὲ ἡ ἐπιβουλὴ ἐν κυνηγεσίῳ. ἅπερ προμαθὼν ὁ Δαρεῖος ἐκ ἔπτηξεν, ἀλλὰ προστάξας αὐτοῖς λαβεῖν τὰ ὅπλα καὶ τοὺς ἵππους, ἐκέλευσεν αὐτοῖς διατείναθαι τὰ 3) ὅπλα, καὶ ὁρμὴν ἐνιέναι, τί ἔν ἃ δρᾶτε τοῦτο, εἶπεν, ἐφ' ὃ καὶ ὡρμήσατε; οἱ δὲ ἰδόντες ἄτρεπτον ἀνδρὸς βλέμμα, ἀνεξάλησαν τὴν ὁρμήν. τὸ δέος δὲ αὐτοὺς κατέχειν ἕως, ὡς καὶ ἐκβαλεῖν τὰς αἰχμὰς, καὶ 4) ἀφελέσθαι τῶν ἵππων, καὶ προσκυνῆσαι Δαρεῖον, καὶ ἑαυτοὺς παραδοῦναι, ὅ, τι καὶ βούλοιτο πράττειν.

Ὁ δὲ διέσωσεν ἄνδρας ἀγαθοὺς, καὶ τοὺς μὲν ἐπὶ τὰ τῆς Ἰνδικῆς ὅρια ἀπέπεμψε, τοὺς δὲ ἐπὶ τὰ Σκυθικά. καὶ ἐκεῖνοι ἔμειναν αὐτῷ πιστοὶ, διὰ μνήμης ἔχοντες τὴν εὐεργεσίαν.

ΑΙΛΙΑ-

1) παρὰ. 2) Κύψελιδῶν. 3) παλτὰ, κ. 4) ἀφαλέσθαι.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

Κεφάλαιον ά.

Περὶ Σεμιράμιδος, καὶ πῶς τὴν τῶν Ἀσσυρίων ἀρχὴν κατέσχε.

Σεμίραμιν τὴν Ἀσσυρίαν ἄλλοι μὲν ἄλλως ἄδουσιν· ὡραιοτάτη δὲ ἐγένετο γυναικῶν, εἰ καὶ ἀφελέσερον ἐχρῆτο τῷ κάλλει. ἀφικομένη δὲ πρὸς τὸν τῶν Ἀσσυρίων βασιλέα, κλητὴ κατὰ κλέος τῆς ὥρας, ὅδε ἐντυχὼν τῇ ἀνθρώπῳ, ἠράσθη αὐτῆς. ἡ δὲ ἤτησεν ἐκ τοῦ βασιλέως τὴν βασίλειον στολὴν λαβεῖν δῶρα, καὶ πέντε ἡμερῶν τῆς Ἀσίας ἄρξαι, καὶ τὰ ἀπὸ ταύτης προστατούμενα δρᾶσαι, καὶ ἐδὲ τῆς αἰτήσεως ἐτύχησεν. ἐπεὶ δὲ ἐκάθισεν αὐτὴν ὁ βασιλεὺς ἐπὶ τοῦ θρόνου, καὶ ἔγνω διὰ χειρὸς καὶ γνώμης ἔχουσα πάντα, προσέταξε τοῖς δορυφόροις αὐτὸν τὸν βασιλέα κτεῖναι. καὶ ἔτω τὴν τῶν

Ἀσσυρίων ἀρχὴν κατέχε. λέγει δὲ ταῦτα Δείνων.

Κεφ. β'.

Περὶ Στράτωνος καὶ Νικοκλέους τρυφῆς.

Στράτων ὁ Σιδώνιος λέγεται τρυφῇ καὶ πολυτελείᾳ ὑπερβαλέσθαι σπεῦσαι ἀνθρώπους πάντας. καὶ Θεόπομπος ὁ Χῖος παραβάλλει αὐτῷ τὸν βίον τῇ τῶν Φαιάκων διαίτῃ, ἥνπερ καὶ Ὅμηρος κατὰ τὴν ἑαυτοῦ μεγαλόνοιαν, ὥσπερ εἴθιστο, ἐξεπαγώδησεν. τούτῳ γε μὴν οὐχ οὕτως ἔοικε, κατᾴδων αὐτῷ τὸ δεῖπνον, καὶ καταθέλγων αὐτόν. ἀλλὰ πολλαὶ μὲν παρῆσαν γυναικῶν μυσεργοὶ καὶ αὐλητρίδες, καὶ ἑταῖραι κάλλει διαπρέπουσαι, καὶ ὀρχηστρίδες. διεφιλοτιμεῖτο δὲ ἰσχυρῶς καὶ πρὸς Νικοκλέα τὸν Κύπριον, ἐπεὶ καὶ ἐκεῖνος πρὸς αὐτόν. ἦν δὲ ἡ ἅμιλλα ὑπὲρ ἐδωδῆς σπουδαίας, ἀλλὰ ὑπὲρ τῶν προειρημένων. καὶ πυνθανόμενοι παρὰ τῶν ἀφικνουμένων τὰ παρ' ἀλλήλοις, εἶτα ἀντεφιλοτιμοῦντο ἑκάτερος ὑπερβαλέσθαι τὸν ἕτερον. ἃ μὴν εἰς τὸ παντελὲς ἐν τούτοις διεγένοντο. ἀμφότεροι γὰρ βιαίᾳ θανάτῳ ἔργον ἐγένοντο.

Κεφ.

Κεφ. γ'.

Λύπης ἀναισαλτικός τις Ἀρισίππου λόγος.

Ὅτι Ἀρίσιππος ἑταίρων αὐτῷ τινων ὀδυρομένων βαρύτατα, πολλὰ μὲν καὶ ἄλλα πρὸς αὐτοὺς εἶπε λύπης ἀναισαλτικά, καὶ ταῦτα δὲ ἐν προοιμίῳ· ἀλλ' ἔγωγε ἦκω παρ' ὑμᾶς, οὐχ ὡς συλλυπούμενος ὑμῖν, ἀλλ' ἵνα παύσω ὑμᾶς λυπουμένους.

Κεφ. δ'.

Περὶ μύλης ἐπαίνου.

Ὅτι Πιττακὸς πάνυ σφόδρα ἐπῄνει τὴν μύλην, τὸ ἐγχώμιον αὐτῆς ἐκεῖνο ἐπιλέγων, ὅτι ἐν μικρῷ τόπῳ 1) διαφόροις ἔστι γυμνάσασθαι. ἦν δέ τι ἄσμα ἐπιμύλιον ἔτω καλούμενον.

Κεφ. ε.

Περὶ τῆς 2) πολλῆς αὐτοργίας τοῦ Ὀδυσσέως καὶ τοῦ Ἀχιλλέως.

Καὶ Λαέρτης δὲ αὐτοργῶν ὑπὸ τοῦ παιδὸς πεφώραται, καὶ φυτὸν ζυγὸν, καὶ τοι γηραιὸς ὢν βαθύτατα. ὁμολογεῖ δὲ καὶ Ὀδυσ-

G 6

1) διάφορά ἐστι. 2) ἐν πολλαῖς

Ὀδυσσεὺς αὐτὸς πολλὰ εἰδέναι, καὶ τεχνίτης αὐτῶν εἶναι.

Δηϊοσύνη δ' ἀκέων μοι ἐρίσσεεν βροτὸς ἄλλος,
Πῦρ τ' εὖ μηήσαι, διά τε ξύλα κολλὰ κέασαι.

Καὶ τὴν χεδίαν δὲ, ἣ δεηθεὶς ναυπηγῶν, ἀλλὰ δι' ἑαυτῆ τὴν ταχίστην εἰργάσατο. καὶ Ἀχιλλεὺς δὲ, τρίτος ὢν ἀπὸ τῆ Διός, αὐτὸς διακόπτει τὰ κρέα, δεῖπνον τοῖς παρὰ τῶν Ἀχαιῶν πρέσβεσιν ἀφικομένοις εὐτρεπίσαι σπεύδων.

Κεφ. ε'.

Σκύθ τινὸς ἀπόρησις περὶ ῥήγες.

Χιόνος ποτὲ πιπτούσης, ἤρετο ὁ βασιλεὺς τῶν Σκυθῶν τινα, εἰ ῥιγοῖ, γυμνὸν διακαρτερῆντα. ὁ δὲ αὐτὸν ἀντήρετο, εἰ τὸ μέτωπον ῥιγοῖ. τῆ δὲ, ἢ, φήσαντος, ἠκὲν, εἶπεν, ἐδὲ ἐγὼ, πᾶς γὰρ μέτωπόν εἰμι.

Κεφ. ζ'.

Περὶ Δημοσθένες ἀγρυπνίας.

Ὅτι Πυθέας ἐπέσκωπτεν εἰς Δημοσθένη τὸν Δημοσθένες, ἐπιλέγων 1) αὐτῷ τὰ ἐνθυ-

1) (αὐτῆ).

μήματα ἐλλυχνίων ὄζειν. ὅτι ἐκεῖνος διὰ τῆς νυκτὸς πάσης ἠγρύπνει φροντίζων, καὶ ἐκμανθάνων, ἃ ἔμελλεν ἐρεῖν ἐλθὼν εἰς τὸς Ἀθηναίες.

Κεφ. η'.

Περὶ Ἀλεξάνδρε πένθες ἐπὶ τῷ τῆ Ἡφαιςίωνος θανάτῳ.

Ὅτε Ἡφαιςίων ἀπέθανεν, Ἀλέξανδρος ὅπλα αὐτῷ εἰς τὴν πυρὰν ἐνέβαλε, καὶ χρυσὸν, καὶ ἄργυρον τῷ νεκρῷ συνέπηξε, καὶ ἐθῆτα τὴν μέγα τιμίαν ἐν Πέρσαις. ἀπέκειρε δὲ καὶ τὸς πολεμικὸς, καὶ ἀγαθὸς, καὶ ἑαυτὸν, Ὁμηρικὸν πάθος δρῶν, καὶ μιμούμενος τὸν Ἀχιλλέα τὸν ἐκείνε. βαιότερον δὲ, καὶ θερμότερον ἐκείνε ἔδρασεν ἔτος, τὴν τῶν Ἐκβατάνων ἀκρόπολιν περιπεσὰς, καὶ τὸ τεῖχος αὐτῆς ἀφελόμενος. μέχρι μὲν ἓν τῆς κόμης τῆς ἑαυτῆ, Ἑλληνικὰ ἐδόκει μοι δρᾶν· ἐπιχειρήσας δὲ τοῖς τείχεσιν, ἀλλ' ἐνταῦθα ἐπένθει βαρβαρικῶς Ἀλέξανδρος ἤδη, καὶ τὰ κατὰ τὴν σολὴν ἤμεψε, θυμῷ καὶ ἔρωτι ἐπιτρέπων πάντα, καὶ δακρύοις.

Ὅτι Ἡφαιςίων εἰς Ἐκβάτανα ἀπέθανε. διαφέρει δὲ λόγος, Ἡφαιςίωνι μὲν ταῦτα

εὐτρεπισθῆναι νεκρῷ, Ἀλέξανδρον δὲ αὐτοῖς ἀπεθανόντα χρήσασθαι. μὴ γὰρ φθάσαι τὸ ἐπὶ τῷ μειρακίῳ τελεσθὲν πένθος, ἐπιλαβεῖν δὲ τὸν τῦ Ἀλεξάνδρε θάνατον.

Κεφ. θ'.

Περὶ σώφρονος γυναικός.

Εἶτα ἐκ ἔστι σωφροσύνη μεγάλη; (ἐμοὶ μὲν δοκεῖ,) εἰγε καὶ ἡ Φωκίωνος τὸ Φωκίωνος ἱμάτιον ἐφόρει, καὶ ἐδέησε τοῦ κροκωτῦ, ἐ Ταραντίνε, ἐκ ἀναβολῆς, ἐκ ἐγκυκλίε, ἐ κεκρυφάλε, ἐ καλύπτρας, ἐ βαπτῶν χιτωνίσκων. ἠμπείχετο δὲ πρώτῃ μὲν τῇ σωφροσύνῃ, δευτέροις γε μὴν τοῖς παροῦσι.

Κεφ. ί.

Περὶ τῆς τῦ Σωκράτες γυναικός.

Τῇ Ξανθίππῃ δὲ ὁ Σωκράτης, ἐπεὶ ἐκ ἠβούλετο τὸ ἐκείνε ἱμάτιον ἐνδύσασθαι, καὶ ἅτως ἐπὶ τὴν θέαν τῆς πομπῆς βαδίζειν, ἔφη, ὁρᾷς, ὡς ἐ θεωρήσεσα, θεωρησομένη δὲ μᾶλλον βαδίζεις;

Κεφ.

Κεφ. ιά.

Γυναικῶν Ῥωμαίων ὑποδήματα.

Ῥωμαίων δὲ αἱ πολλαὶ γυναῖκες, καὶ τὰ ὑποδήματα αὐτὰ φορεῖν τοῖς ἀνδράσιν, εἰθισμέναι εἰσίν. τ

Κεφ. ιβ'.

Λυσάνδρε ἢ Φιλίππε ἀπόφθεγμα περὶ ἐπιορκίας. m

[illegible]εῖ τὲς παῖδας τοῖς ἀστραγάλοις ἐξαπατᾶν, τὲς δὲ ἄνδρας τοῖς ὅρκοις· οἱ μὲν Λυσάνδρε εἶναι λέγεσι τὸν λόγον, οἱ δὲ Φιλίππε τῦ Μακεδόνος. 1) ὁπότερος δ' ἂν ᾖ, ἐκ ὀρθῶς λέγεται, κατά γε τὴν ἐμὴν γνώμην. καὶ ἴσως ἐ παράδοξον, εἰ μὴ τὰ αὐτὰ ἀρέσκει ἐμοὶ, καὶ Λυσάνδρῳ. ὁ μὲν γὰρ ἐτυράννει· ἐγὼ δὲ ὡς φρονῶ, δῆλον ἐξ ὧν μὴ τοιαῦτα ἀρέσκει με.

Κεφ. ιγ'.

Περὶ καρτερίας Ἀγησιλάε.

Ἀγησίλαος ὁ Λακεδαιμόνιος, γέρων ἤδη ὤν, ἀνυπόδετος πολλάκις καὶ ἀχίτων προῆει, τὸν τρίβωνα περιβαλλόμενος αὐτὸν, καὶ ταῦτα ἐωθινὸς ἐν ὥρᾳ χειμερίῳ. ἠτιάσατο

1) ὁποτέρως.

σατο δέ τις αὐτὸν, ὡς νεανικώτερα τῆς ἡλικίας ἐπιχειρῶντα. ὁ δέ, ἀλλ' οἱ γε νέοι, φησὶ, τῶν πολιτῶν, ὥσπερ ὖν πῶλοι πρὸς τὸν τέλειον, ἀποβλέπουσιν ἐμέ.

Κεφ. ιθ'.

Η'

Περὶ φιλοσόφων στρατηγῶν καὶ πολιτευσαμένων.

Τί δέ; οὐκ ἦσαν καὶ οἱ Φιλόσοφοι τὰ πολέμια ἀγαθοί; ἐμοὶ μὲν δοκοῦσιν· εἶναι Ἀρχύταν μὲν εἴλονλο ἑξάκις στρατηγὸν Ταραντῖνοι. Μέλισσος δὲ ἐναυάρχησε. Σωκράτης δὲ ἐστρατεύσατο τρίς. Πλάτων δὲ καὶ αὐτὸς εἰς Ταν άγραν, καὶ εἰς Κόρινθον. τὴν δὲ Ξενοφῶντος στρατείαν καὶ στρατηγίαν, πολλοὶ μὲν καὶ ἄλλοι ἄδουσι, καὶ αὐτὸς δὲ ὁμολογεῖ ἐν τοῖς περὶ Κύρου λόγοις. Δίων δὲ ὁ Ἱππαρίνου τὴν Διονυσίου τυραννίδα κατέλυσε. καὶ Ἐπαμινώνδας Βοιωταρχῶν ἐν Λεύκτροις ἐνίκησε Λακεδαιμονίους, καὶ τῶν Ῥωμαίων, καὶ τῶν Ἑλλήνων πρῶτος ἐγένετο. πολλὰ δὲ καὶ Ζήνων ὑπὲρ Ἀθηναίων ἐπολιτεύσατο πρὸς Ἀντίγονον. οὐδὲν γὰρ διοίσει, εἴ τις διὰ γνώμης ὠφελήσει τινας, εἴτε δι' ὅπλων.

Κεφ.

Κεφ. ιέ.

Πῶς οἱ τῶν Μιτυληναίων σύμμαχοι ἀφισάμενοι ἐτιμωρήθησαν.

Ἡνίκα τῆς θαλάσσης ἦρξαν Μιτυληναῖοι, τοῖς ἀφισαμένοις τῶν συμμάχων τιμωρίαν ἐκείνην ἐπήρτησαν, γράμματα μὴ μανθάνειν τὰς παῖδας αὐτῶν, μηδὲ μουσικὴν διδάσκεσθαι, πασῶν κολάσεων ἡγησάμενοι βαρυτάτην εἶναι ταύτην, ἐν ἀμαθίᾳ καὶ ἀμουσίᾳ καταβιῶναι.

Κεφ. ις'.

Περὶ Ῥώμης, Ῥώμου, Ῥωμύλου, καὶ Σερβίας.

Ὅτι Ῥώμη ὑπὸ Ῥώμου καὶ Ῥωμύλου ἐκτίσθη, τῶν Ἄρεως καὶ Σερβίας παίδων. ἦν δὲ αὕτη μία τῶν Αἰνείου ἀπογόνων.

Κεφ. ιζ'.

Π

Περὶ Εὐδόξου εἰς Σικελίαν ἀφικομένου.

Ὅτε εἰς Σικελίαν ἦκεν Εὔδοξος, χάριν αὐτῷ πολλὴν ὁ Διονύσιος τῆς ἀφίξεως ἤδει. ὁ δὲ ἐδέν τι πρὸς ταῦτα θωπεύσας

πεύσας, ἐδὲ ὑποδραμών· Ἀφικόμην (εἶπεν) ὡσπεραν ἐς πανδοκέα ἀγαθὸν, παρ' ᾧ κατήγετο Πλάτων· ὁμολογήσας, ὅτι μὴ δι' ἐκεῖνον, ἀλλὰ διὰ τοῦτον ἀφίκετο.

Κεφ. ιή.

Ὅτι οἱ Αἰγύπτιοι καρτεροὶ ἐν ταῖς βασάνοις, καὶ περὶ Ἰνδῶν γυναικῶν.

Αἰγυπτίους φασὶ δεινῶς ἐγκαρτερεῖν ταῖς βασάνοις, καὶ ὅτι θᾶττον τεθνήξεται ἀνὴρ Αἰγύπτιος στρεβλούμενος, ἢ τ' ἀληθὲς ὁμολογήσει. παρὰ Ἰνδοῖς δὲ αἱ γυναῖκες τὸ αὐτὸ πῦρ ἀποθανεῖσαι τοῖς ἀνδράσιν ὑπομένουσι. φιλοτιμοῦνται δὲ αἱ γυναῖκες περὶ τούτῳ τῷ ἀνδρὸς, καὶ ἡ κληρωλαχοῦσα συγκαίεται.

Κεφ. ιθ'.

Περὶ Σόλωνος στρατηγήματος κατὰ τῶν Μεγαρέων, καὶ πῶς ἔπεισε τὰ ἐκείνων λόγοις ἐκράτησεν.

Σόλων εἰς τὴν ὑπὲρ Σαλαμῖνος μάχην ἐστρατήγησε, καὶ δύο νεῶν Μεγαρίδων κρατήσας, μετεβίβασε στρατηγὸς Ἀττικὸς εἰς

εἰς αὐτὰς, καὶ τὰ τῶν πολεμίων ὅπλα τοῖς οἰκείοις περιθεὶς, καὶ μεθορμισθεὶς δι' ἀπάτης, πολλὰς τῶν Μεγαρέων κατέκοψεν ἀνόπλους. ἐκράτησε δὲ καὶ τοῖς λόγοις αὐτῶν, ἃ λόγων δεινότητι, ἀλλὰ δι' αὐτῶν τῶν ἐλέγχων τὸ πλέον ἐνεγκάμενος. ἀρχαίας γὰρ θήκας ἀνοίξας, ἀπέδειξε πάντας Ἀθηναίους πρὸς δύσιν κειμένους κατὰ τὸ 1) πατρῷον αὐτοῖς ἔθος· τοὺς δὲ Μεγαρεῖς εἰκῇ, καὶ ὡς ἔτυχε, τεθαμμένους. ἔκριναν δὲ τὴν δίκην Λακεδαιμόνιοι.

Κεφ. κ'.

Περὶ γέροντος Κείου τὴν τρίχα βαψαμένου.

Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος, γέρων ἤδη ὢν, τὰ μὲν ἄλλα ἀλαζών, ἠδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ διὰ ταῦτα τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν εἰς τοὺς Λακεδαιμονίους, καὶ τοιαύτην ὑποφαίνων τὴν κεφαλὴν, ἐκείνα εἶπεν, ὑπὲρ ὧν καὶ ἀφίκετο. ἀνασὰς οὖν Ἀρχίδαμος, ὁ τῶν Λακεδαιμονίων Βασιλεὺς, τί δ' ἄν, ἔφη, ἔτος ὑγιὲς 2) εἴπῃ, ὃς ἃ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει; καὶ ἐξέω-

1) πάτριον. 2) εἴποι.

ἐξέωσε τὰ ὑπ' αὐτῦ λεχθέντα, διαβάλλων τῦ Κείῳ τὸν τρόπον, ἐξ ὧν ἐωρᾶτο.

Κεφ. κά.

Περὶ Καίσαρος καὶ Πομπηίῳ ἐπιμελείας, ὑπὲρ τῦ μανθάνειν, ἃ προσῆκεν πρὸς τὸ καλῶς ἄρχειν.

Οὐκ ἀπηξίῳ Καῖσαρ ἐπὶ τὰς Ἀρίσωνος θύρας φοιτᾶν, Πομπήϊος δὲ ἐπὶ τὰς Κρατίππε. ἐ γὰρ, ἐπεὶ μέγα ἐδύναντο, ὑπερεφρόνεν τῶν τὰ μέγιστα αὐτὸς ὀνῆσαι δυναμένων. ἀλλ' ἐδέοντο αὐτῶν, καί τοι τοσῦτοι ὄντες τὴν ἀξίωσιν. ἐ γὰρ ἄρχειν, ὡς ἔοικεν, ἀλλὰ καλῶς ἄρχειν ἐβέλοντο.



ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

Κεφάλαιον ά.

Περὶ τῦ δαιμονίε τῦ Σωκράτες.

Ἔλεγε δήπε Σωκράτης περὶ τῦ δαιμονίε τῦ συνόντος αὐτῷ, πρὸς Θεάγην καὶ Δημόδοκον, καὶ πρὸς ἄλλες πολλές. Φωνὴν πολλάκις ἔφασκεν 1) ὁσίαν πομπῆς ἐγκεκληρωμένην αὐτῷ. ἥπερ ὅταν γένηταί μοι, φησὶ, σημαίνει, ὃ μέλλω πράτλειν, τέτε ἀποτροπὴν, προτρέπει δὲ ἐδέποτε. καὶ αὖ πάλιν, ἐάν τις, φησὶ, τῶν φίλων 2) ἀνακοινῆται ὑπέρ των, καὶ ἐπιγένηται ἡ Φωνὴ ἐκείνη, πάλιν ἀποτρέπει. καὶ ἐμοὶ μὲν αὕτη συμβελεύει τῦτο. ἐγὼ δὲ τῷ συμβελευομένῳ μοι, καὶ ἐκ ἐῶ πράτλειν, ἑπόμενος τῇ θείᾳ προρρήσει. παρείχετο δὲ μάρτυρα Χαρμίδην τὸν Γλαύκωνος. ἀνεκοινώσατο γάρ αὐτῷ, εἰ μέλλοι ἀτκήσειν εἰς Νεμέαν, καὶ εὐθὺς, ἀπαρχομένε λέγειν, Φωνὴ ἐπεγένετο. καὶ ὁ Σωκράτης τὸν Χαρ-

1) (ὁσίας.) 2) ἀνακοινῶται.

Χαρμίδην διεκώλυσεν ἔχεσθαι, ὧν εἴχετο, εἰπών· ὁ δὲ ἐκ ἐπείθη, ἀ μὴν εἰς δέον ἀπήντησεν αὐτῷ ἡ σπουδή.

Κεφ. β'.

Περὶ Ἱππάρχου σοφίας, καὶ σπουδῆς περὶ τὰς πεπαιδευμένους, καὶ περὶ τῶν Ὁμηρικῶν ἐπῶν.

Ἵππαρχος ὁ Πεισιστράτου παῖς, πρεσβύτατος ὢν τῶν Πεισιστράτου, καὶ σοφώτατος ἦν Ἀθηναίων. ἔτος καὶ τὰ Ὁμήρου ἔπη ἐκόμισε πρῶτος εἰς τὰς Ἀθήνας, καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς τοῖς Παναθηναίοις αὐτὰ ᾄδειν. καὶ ἐπ' Ἀνακρέοντα δὲ τὸν Τήϊον πεντηκόντορον ἔστειλεν, ἵνα 1) αὐτὸς πορεύσῃ ὡς 2) αὐτόν. Σιμωνίδην δὲ τὸν Κεῖον διὰ σπουδῆς ἄγων, ἀεὶ περὶ αὐτὸν εἶχε, μεγάλοις δώροις ὡς τὸ εἰκὸς πείθων, καὶ μισθοῖς. καὶ γὰρ ὡς ἦν φιλοχρήματος ὁ Σιμωνίδης, οὐδεὶς ἀντιφήσει. ἔργον δὲ ἦν ἄρα τοῦτο τῷ Ἱππάρχῳ ἡ περὶ τοὺς πεπαιδευμένους σπουδή. καὶ ἐβούλετο ὑπὸ προχείμαλι τῷ ἑαυτοῦ Ἀθηναίους παιδεύεσθαι, καὶ βελτιόνων αὐτῶν ὄντων ἄρχειν ἔσπευδεν. οὐ γὰρ ᾤετο γὰρ δεῖν οὐδενὶ φθονεῖν σοφίας, ἅτε ὢν

1) αὐτὸν. 2) αὐτόν.

ὢν καλὸς καὶ ἀγαθός. λέγει δὲ Πλάτων ταῦτα, εἰ δὴ ὁ Ἵππαρχος Πλάτωνός ἐστι τῷ ὄντι (μαθητής).

Κεφ. γ'.

Περὶ βοὸς παρ' Ἀθηναίοις σφαγῆς, καὶ Διιπολίων καὶ Βοφονίων ἑορτῶν.

Ὅτι Ἀττικὸν τοῦτο τὸ ἔθος· ὅταν ὁ βοῦς ἀποσφαγῇ, τῶν μὲν ἄλλων ἀποψηφίζονται, κρίνοντες ἕκαστον ἐν τῷ μέρει φόνου. καταγινώσκουσι δὲ τῆς μαχαίρας, καὶ λέγουσι ταύτην ἀποκτεῖναι αὐτόν. καὶ ἐν ᾗ ταῦτα ἡμέρᾳ δρῶσι, Διιπόλια τὴν ἑορτὴν καλοῦσι, καὶ Βοφόνια.

Κεφ. δ'.

Περὶ Πολιάρχου τρυφῆς.

Πολίαρχόν φασι τὸν Ἀθηναῖον εἰς τοσοῦτον προελθεῖν τρυφῆς, ὥστε καὶ κύνας καὶ ἀλεκτρυόνας ἐκείνους, οἷς ἔχαιρεν, ἐκκομίζειν ἀποθανόντας δημοσίᾳ· καὶ ἐπὶ τὴν ἐκφορὰν αὐτῶν παρεκάλει τοὺς φίλους, καὶ ἔθαπτεν αὐτοὺς πολυτελῶς, καὶ ἐπιτάφια αὐτοῖς ἀναθήσας, ἐπιγράμματα κατ' αὐτῶν ἐνεκόλαπτεν.

Κεφ.

Κεφ. έ.

Περὶ Νηλέως, καὶ Μέδοντος, καὶ ἐν Ἰωνίᾳ δώδεκα πόλεων.

Ὅτι Νηλεὺς ὁ Κόδρε, τῆς βασιλείας ἀμοιρήσας, ἀπέλιπε τὰς Ἀθήνας, διὰ τὸ τὴν Πυθίαν Μέδοντι τὴν ἀρχὴν περιάψαι εἰς ἀποικίαν 1) ϛελλομένῳ. τῇ Νάξῳ δὲ προσωρμίσθη ἐχ ἑκών, ἀλλ' ὑπὸ χειμῶνος βιαθείς. ἀπᾶραι δὲ βελόμενον, καταπνεόντες ἐναντίοι ἄνεμοι διεκώλυον. ἀπορῶντι δὲ αὐτῷ ὑπὲρ τῶν ἐνεσώτων οἱ μάντεις ἔφασαν δεῖν καθαρθῆναι τὸ ϛρατόπεδον, ὡς συμπλεόντων πολλῶν ἀ καθαρῶν τὰς χεῖρας. προσεποιήσατο δὴ καὶ αὐτὸς ἀποκτεῖναί τινα παῖδα, καὶ δεῖσθαι καθαρμῶ. καὶ αὐτὸς ἀνεχώρησε, καὶ τὰς ἄλλας ἔπεισε τὰς συνειλοτας ἑαυτοῖς. ἀ γενομένᾳ, καὶ γνωσθέντων ἐκείνων, αὐτὰς μὲν ἀπέλιπεν, οἱ δὲ ἄκησαν τὴν Νάξον. Νηλεὺς δὲ εἰς τὴν Ἰωνίαν ἀφίκετο. καὶ πρῶτον μὲν 2) ᾤκησε Μίλητον, Κᾶρας ἐξελάσας, καὶ Μυγδόνας, καὶ Λέλεγας, καὶ ἄλλους βαρβάρους, ἀφ' ὧν αἱ δώδεκα πόλεις ἐκλήθησαν ἐν Ἰωνίᾳ εἰσὶ δὲ αἵδε. Μίλητος, Ἔφεσος, Ἐρυθραί, Κλαζομεναί, Πριήνη, Λέβεδος, Τέως, Κολοφών, Μυῆς, Φώκαια, Σάμος, καὶ Χῖος. καὶ ἄλλας δὲ πολλὰς ὕϛερον ᾤκισε πόλεις ἐν τῇ 1) Ἠπείρῳ.

1) ϛελόμενος. 2) ᾤκισε.

Κεφ. ϛ'.

Περὶ ἀγραμματίας καὶ ἀπαιδευσίας τῶν βαρβάρων.

Τῶν ἀρχαίων φασὶ Θρᾳκῶν μηδένα ἐπίϛασθαι γράμματα. ἀλλὰ καὶ ἐνόμιζον αἴσχιϛον εἶναι πάντες οἱ τὴν Εὐρώπην οἰκοῦντες βάρβαροι, χρῆσθαι γράμμασιν. οἱ δὲ ἐν τῇ Ἀσίᾳ, ὡς λόγος, ἐχρῶντο αὐτοῖς μᾶλλον. ἔνθέν τοι καὶ τολμῶσι λέγειν, μηδὲ τὸν Ὀρφέα σοφὸν γεγονέναι, Θρᾷκα ὄντα, ἀλλ' ἄλλως τὲς μύθες αὐτῷ καταψεύσασθαι. ταῦτα Ἀνδροτίων λέγει, εἴ τῳ πιϛὸς ὑπὲρ τῆς ἀγραμματίας καὶ ἀπαιδευσίας Θρᾳκῶν τεκμηριῶσαι.

Κεφ. ζ'.

Περὶ ἐσιωμένων γάμων ὑπ' Ἀλεξάνδρε, ὅτε Δαρεῖον ἐνίκησεν.

Ἀλέξανδρος, ὅτε Δαρεῖον ἔλε, γάμες εἰσία καὶ ἑαυτῷ καὶ τῶν Φίλων. ἐνενήκοντα δὲ ἦσαν οἱ γαμῶντες, καὶ ἰσάριθμοι

1) ἠπείρῳ (continente).

ριθμοι τέτοις οἱ θαλαμοι. ἦν δὲ ὁ ἀνδρῶν, ὁ ὑποδεχόμενος καὶ ἑσιῶν αὐτὸς, ἑκατοντάκλινος· καὶ ἑκάστη κλίνη ἀργυρέπτης ἦν, ἡ δὲ αὐτῆ χρυσόπους· καὶ κεκόσμηντο πᾶσαι ἀλεργοῖς καὶ ποικίλοις ἱματίοις ὑφῆς βαρβαρικῆς μεγατίμε. συμπαρέλαβε δὲ εἰς τὸ συμπόσιον καὶ τὲς ἰδιοξένες, καὶ κατέκλινεν ἀντιπροσώπες ἑαυτῷ. ἐν δὲ τῇ αὐλῇ εἰσιῶντο εἴτε ἄλλαι δυνάμεις, αἱ πεζαὶ, καὶ αἱ ναυτικαὶ, καὶ οἱ ἱππεῖς, καὶ αἱ πρεσβεῖαι δὲ εἰσιῶντο, καὶ οἱ παρεπιδημοῦντες Ἕλληνες. καὶ ἐγένετο τὰ δεῖπνα προσαλπισά· τὸ μὲν συγκλητικὸν μέλος 1) ᾄδον, ὅτε αὐτὲς ἐχρῆν παριέναι ἐπὶ τὴν δῆτα· τὸ δὲ ἀνακλητικὸν, ὅτε ἐσήμαινον ἀπαλλάσσεσθαι. πέντε δὲ 2) ἑξῆς ἡμέρας καθεξῆς τὲς γάμες ἔθυεν. ἀφίκοντο δὲ καὶ μισεργοὶ, καὶ ὑποκρίλαι, οἱ μὲν κωμῳδίας, οἱ δὲ τραγῳδίας, πάμπολλοι. ἦσαν δὲ καὶ ἐκ τῆς Ἰνδικῆς θαυματοποιοὶ διαπρέποντες, καὶ ἔδοξαν δὲ αὐτοὶ κρατεῖν τῶν ἄλλων τῶν ἀλλαχόθεν.

Κεφ. ή.

Περὶ γραφικῆς τέχνης.

Κύνων ὁ Κλεωναῖος ἐξειργάσατό, φασι, τὴν τέχνην τὴν γραφικὴν, ὑποφυομένην

1) ᾖδον. 2) del. ἑξῆς.

μένην ἔτι, καὶ ἀτέχνως ὑπὸ τῶν πρὸ αὐτῦ καὶ ἀπείρως ἐκτελεμένην, καὶ τρόπον τινὰ ἐν σπαργάνοις καὶ γάλαξιν ὄσαν. διὰ ταῦτά τοι καὶ μισθὸς τῶν πρὸ αὐτῦ πρῶτος ἔλαβεν ἀθροτέρες.

Κεφ. θ'.

Περὶ τυράννε ὑπὸ τῶν ἑαυτῦ παιδικῶν φονευθέντος.

Ἀρχέλαον τὸν 1) Μακεδονίας τύραννον (ἔτω γὰρ καὶ Πλάτων αὐτὸν ὀνομάζει, καὶ ὁ Βασιλέα,) τὰ παιδικὰ αὐτῦ Κρατεύας ἐραθεὶς τῆς τυραννίδος, ἐδέη ἧττον ἧπερ ἐκεῖνος τῶν παιδικῶν ἠράθη, ἀπέκτεινε τὸν ἐρασὴν ὁ Κρατεύας Ἀρχέλαον, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος. τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας τὴν τυραννίδα καταχὼν τὸ μειράκιον, πάλιν αὐτὸς ἐπιβελευθεὶς ὑφ' ἑτέρων ἐτελεύτησεν. εἴη δὲ πρεπωδέστατον ἐπεπεῖν τῷδε τῷ Μακεδονικῷ δράματι τὸ ἔπος ἐκεῖνο· Τεύχων ὡς ἑτέρᾳ τις, ἐῷ κακὸν ἤπατι τεύχει, ὅτι διεψεύστατο αὐτῷ, φασιν, Ἀρχέλαος τῶν θυγατέρων μίαν δώσειν· ὅτε δὴ ἄλλῳ συνῴκισε τὴν παῖδα, ὑπεραγανακτήσας διέφθειρε τὸν Ἀρχέλαον.

2) Μακεδόνων.

Κεφ. ί.

Περὶ Σόλωνος, καὶ τῶν αὐτῷ καὶ Δράκοντι γραφέντων νόμων.

Σόλωνα αἱρεῖον Ἀθηναῖοι προείλοντο ἄρχειν αὐτοῖς· ἀγαθὸς γὰρ κληρωτὸν τοῦτον. ἐπεὶ δὲ ἤρέθη, τά τε ἄλλα ἐκόσμησε τὴν πόλιν, καὶ δὴ καὶ τοὺς νόμους τοὺς νῦν ἔτι φυλαττομένους συνέγραψεν αὐτοῖς. καὶ τότε ἐπαύσαντο Ἀθηναῖοι χρώμενοι τοῖς Δράκοντος. ἐκαλοῦντο δὲ ἐκεῖνοι θεσμοί. μόνους δὲ ἐφύλαξαν τοὺς φονικοὺς αὐτοῦ.

Κεφ. ια.

Περὶ πραγμάτων μειώσεως καὶ φθορᾶς, καὶ τοῦ κόσμου αὐτοῦ.

Οὐδὲν ἔτι θαυμάζομεν, εἰ ἡ τῶν ἀνθρώπων φύσις, θνητὴ οὖσα καὶ ἐφήμερος, φθείρεσθαι αὐτοὺς ἀναγκάζει· ὅπου καὶ τοὺς ποταμοὺς ὁρῶμεν, ἐπιλείποντας, καὶ τῶν ὀρῶν δὲ τὰ ὑψηλότατα ἀκόμεν μειούμενα καὶ ἐκεῖνα. τὴν γοῦν Αἴτνην φασὶν οἱ πλέοντες, ἐξ ἐλάσσονος ὀρᾶν, ἢ 1) πρότου ἐβλέπετο· τὸ δὲ αὐτὸ τοῦτο καὶ τὸν Παρνασσὸν παθεῖν, καὶ τὸν Ὄλυμπον τὸν Πιερικόν. οἱ δὲ ἔτι μᾶλλον δοκοῦντες τὴν τῶν ὅλων

1) πρὸ του.

ὅλων φύσιν κατεσκέφθαι, λέγουσι καὶ τὸν κόσμον διαφθείρεσθαι αὐτόν.

Κεφ. ιβ'.

Περὶ Δημοσθένους, Αἰσχίνου, Θεοφράστου, καὶ Δημοχάρους.

Παράδοξον γε, ἀγαθὸς γὰρ 1) ἀληθὲς, ἐκπεσόντος Δημοσθένους ἐν Μακεδονίᾳ. Αἰσχίνης δὲ ὁ 2) Ἀτρομήτου ὁ 3) Κωθωκίδης καὶ εὐνοϊκώτερον τοῖς Μακεδόσι, καὶ πάμπολυ περιῆν τῶν πρέσβεων τῷ φρονήματι. αἰτία δὲ ἦν ἄρα τοῦτο τῷ Αἰσχίνῃ, ἥτε πρὸς Φίλιππον φιλία, καὶ τὰ ἐξ αὐτοῦ δῶρα· καὶ ὅτι πράως καὶ ἡδέως ἤκουεν αὐτοῦ ὁ Φίλιππος, μειλιχίῳ τῷ βλέμματι προσβλέπων, καὶ ὑποφαίνων ἐξ αὐτοῦ τὴν εὔνοιαν. ἅπερ ἦν πάντα ἐφόλκια ἦν εἰς τὴν παῤῥησίαν τῷ Αἰσχίνῃ, καὶ τὴν τῶν λόγων εὕρεσιν. ὁ μόνος δὲ τοῦτο ἔπαθε Δημοσθένης ἐν Μακεδονίᾳ, καί τοι δεινότατος ὢν εἰπεῖν, ἀλλὰ καὶ Θεόφραστος ὁ Ἐρέσιος. ἐξέπεσε γὰρ καὶ ἔτος ἐπὶ τῆς ἐξ Ἀρείου πάγου βουλῆς λέγων, καὶ ταύτην ἀπολογίαν προσφέρετο, ὅτι κατεπλάγη τὸ ἀξίωμα τοῦ συνεδρίου. πικρότατα δὲ ἀπήντησε καὶ ἑτοιμότατα πρὸς τοῦτον αὐτοῦ τὸν λόγον ὁ Δημοχάρης,

1) ἀληθὲς; ἐκπ. 2) Ἀτρομήτου. 3) Κωθ.

εἰπών· Ὦ Θεόφραστε, Ἀθηναῖοι ἦσαν, ἀλλ' οὐχ οἱ δώδεκα θεοὶ οἱ δικάζοντες.

Κεφ. ιγ'.

Τίνες ἀεὶ ἐγέλων.

Ἀναξαγόραν τὸν Κλαζομένιον φασὶ μὴ γελῶντά ποτε ὀφθῆναι, μήτε μειδιῶντα τὴν ἀρχήν. λέγουσι δὲ καὶ Ἀρισόξενον τῷ γέλωτι ἀνὰ κράτος πολέμιον γενέσθαι· Ἡράκλειτόν τε ὅτι πάντα τὰ ἐν τῷ βίῳ ἔκλαιεν.

Κεφ. ιδ'.

Περὶ Διογένους τελευτῆς.

Διογένης ὁ Σινωπεὺς ὅτε λοιπὸν ἐνόσει ἐπὶ θανάτῳ, ἑαυτὸν φέρων μόνον ἔρριψε κατά τινος γεφυρίδος πρὸς γυμνασίῳ ὄντος, καὶ προσέταξε τῷ παλαιστροφύλακι, ἐπειδὰν αἴσθηται ἀποπεπνευκότα αὐτὸν, ῥῖψαι εἰς τὸν Ἰλισσόν. ὅτως ἄρα ὀλίγον ἐμέλε Διογένει καὶ θανάτου, καὶ ταφῆς.

Κεφ.

Κεφ. ιέ.

Περὶ Φιλίππου ἐν νίκῃ ἐγκρατείας, καὶ τίνος ἐβούλετο ἀναμιμνήσκεσθαι.

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους νίκῃ ἐνίκησε Φίλιππος, ἐπαρθεὶς δὲ τῇ εὐπραγίᾳ, ὅμως λογισμῷ ἐκράτησε, καὶ οὐχ ὕβρισε. καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἑωθεν, ὅτι ἄνθρωπός ἐστιν· καὶ προσέταξε τῷ παιδὶ τοῦτο ἔχειν ἔργον, καὶ ὃ πρότερόν φασιν, ἔτε αὐτὸς προῇει, ἔτε τις τῶν δεομένων αὐτοῦ παρ' αὐτὸν εἰσῇει, πρὶν ἢ τὸ αὐτῷ τὸν παῖδα ἑκάστης ἡμέρας ἐκβοῆσαι τρίς. ἔλεγε δὲ αὐτῷ, Φίλιππε, ἄνθρωπος εἶ.

Κεφ. ιε'.

Περὶ Σόλωνος καὶ Πεισιστράτου.

Σόλων ὁ Ἐξηκεστίδου, γέρων ἤδη ὤν, ὑπώπτευε Πεισίστρατον τυραννίδα[1] ἐπιθήσεσθαι, ἡνίκα παρῆλθεν εἰς τὴν ἐκκλησίαν τῶν Ἀθηναίων, καὶ ἤτει φρουρὰν ὁ Πεισίστρατος. ὁρῶν δὲ τοὺς Ἀθηναίους τῶν μὲν αὐτοῦ λόγων ῥᾳθύμως ἀκούοντας, προσέχοντας δὲ τῷ Πεισιστράτῳ, ἔφη, ὅτι τῶν μέν

1) τυραννίδι.

μέν ἐσι σοφώτερος, τῶν δὲ ἀνδρειότερος. ὁπόσοι μὲν μὴ γινώσκουσιν, ὅτι φυλακὴν λαβὼν περὶ τὸ σῶμα, τύραννος ἔσαι, ἀλλὰ τούτων μέν ἐσι σοφώτερος· ὁπόσοι δὲ γινώσκοντες ὑποσιωπῶσι, τούτων ἀνδρειότερός ἐσιν. ὁ δὲ λαβὼν τὴν δύναμιν, τύραννος ἦν. προθεζόμενος δὲ Σόλων πρὸ τῆς οἰκίας, τὴν ἀσπίδα καὶ τὸ δόρυ παραθέμενος ἔλεγεν, ὅτι ἐξώπλισαι, καὶ βοηθεῖ τῇ πατρίδι, ἣ δύναται, σρατηγὸς μὲν διὰ τὴν ἡλικίαν ἐκ ἔτι ὤν, εὔνους δὲ διὰ τὴν γνώμην. ὅμως ἦν Πεισίσρατος, εἴτε αἰδοῖ τῇ πρὸς τὸν ἄνδρα καὶ τὴν σοφίαν αὐτοῦ, εἴτε καὶ μνήμη τῶν ἐφ' ἡλικίας, (λέγεται γὰρ, αὐτὸν παιδικὰ γενέσθαι,) ἐδέν γε ἔδρασε κακὸν Σόλωνα.

Ὁ δ' ἦν Σόλων ὀλίγον ὕσερον, ὑπέργηρως ὢν, τὸν βίον ἐτελεύτησεν, ἐπὶ σοφίᾳ καὶ ἀνδρείᾳ μεγάλῃ ἀπολιπὼν δόξαν. καὶ ἀνέσησαν αὐτῷ χαλκῆν εἰκόνα ἐν τῇ ἀγορᾷ, ἀλλὰ καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ παρὰ τὰς πύλας πρὸς τῷ τείχει ἐν δεξιᾷ εἰσιόντων, καὶ περιῳκοδόμητο αὐτῷ ὁ τάφος.

Κεφ.

Κεφ. ιζ'.

Περὶ 1) Οἰνυκίνε, Ζαγκλαίων μοναρχε.

Ὅτι Σκύθης 2) Οἰνυκίνος, ὁ τῶν Ζαγκλαίων μοναρχης, ἀνέβη εἰς Ἀσίαν παρὰ βασιλέα Δαρεῖον, καὶ αὐτὸν ἐνόμισε πάντων δικαιότατον ἀνδρῶν εἶναι, ὅσοι ἐκ τῆς Ἑλλάδος παρ' αὐτὸν ἀνέβησαν. ὅτι παραιτησάμενος βασιλέα ἀφίκετο εἰς Σικελίαν, καὶ πάλιν ἐκ Σικελίας παρὰ βασιλέα ὀπίσω. τοῦτο δὲ Δημοκήδης ὁ Κροτωνιάτης ἐκ ἐποίησε. καὶ διὰ τοῦτο Δαρεῖος ὑπὲρ αὐτοῦ φλαυρως ἔλεγεν, ἀπατεωνα λέγων, καὶ ἄνθρωπον κάκισον. ὁ δὲ Σκύθης ἐν Πέρσαις, μέγα ὄλβιος ὤν, γήρᾳ κατέσρεψε τὸν βίον.

Κεφ. ιή.

Περὶ Εὐθύμε, καὶ τοῦ ἐν Τεμέσῃ ἥρωος, καὶ παροιμίας.

Εὔθυμος ὁ Λοκρος τῶν ἐν Ἰταλίᾳ, πύκτης ἀγαθὸς ἦν, ῥώμη τε σώματος πεπίσευται θαυμασιώτατος γενέσθαι. λίθον γὰρ μεγέθει μέγισον δεικνύουσι Λοκροὶ, ὃν ἐκόμισε, καὶ ἔδηκεν πρὸ τῶν θυρῶν.

1) Σκύθε, Ζ. 2) ὁ Ἰνύκινος.

καὶ τὸν ἐν Τεμέσῃ ἥρωα, φόνος πραττόμενον παρὰ τῶν προσοίκων, ἔπαυσεν. ἀφικόμενος γὰρ εἰς τὸ ἱερὸν αὐτῆς, ὅπερ ἄδατον ἦν τοῖς πολλοῖς, διηγωνίσατο πρὸς αὐτὸν, καὶ ἠνάγκασεν, ὥσπερ ἐσύλησεν, ἀπολίσαι πλέω. ἐντεῦθέν τοι καὶ ἔρρευσεν ἡ παροιμία, ἡ λέγουσα ἐπὶ τῶν ἀλυσιτελῶς τι κερδαινόντων, ὅτι αὐτοῖς ἀφίζεται ὁ ἐν Τεμέσῃ ἥρως. λέγουσι δὲ τὸν αὐτὸν Εὔθυμον καταβάντα ἐπὶ τὸν 1) Καῖκιν ποταμὸν, ὃς ἐστι πρὸ τῆς τῶν Λοκρῶν πόλεως, ἀφανισθῆναι.

Κεφ. ιθ'.

Ἐπιτύμβιον Ἀναξαγόρᾳ, καὶ βωμὸς αὐτῷ.

2) Ἐνθάδ' ὁ πλεῖστον ἀληθείας ἐπὶ τέρμα πεφήσας Οὐρανίᾳ κόσμῳ, κεῖται Ἀναξαγόρας.

Ὅτι καὶ βωμὸς αὐτῷ ἵσαται, καὶ ἐπιγέγραπται ὁ μὲν, Νῷ, ὁ δὲ, Ἀληθείας.

ΑΙΛΙΑ-

1) Καικινὸν. 2) Ὅτι τάτῳ ἐπιγέγραπται Ἀναξαγόρᾳ· Ἐνθ.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

Κεφάλαιον ά.

Ὅτι Ἱέρων καὶ παιδείαν ἠγάπησε, καὶ εὐεργέτης ἦν, καὶ τοῖς ἀδελφοῖς ἐν ἀγάπῃ ἐβίω.

Ἱερωνά φασι τὸν Συρακέσιον φιλέλλην γενέσθαι, καὶ τιμῆσαι παιδείαν ἀνδρειότατα, καὶ ὡς ἦν πρόχειροτατος εἰς τὰς εὐεργεσίας λέγουσι. προθυμότερον γάρ φασιν αὐτὸν χαρίζεσθαι, ἢ τὰς αἰτοῦντας λαμβάνειν. ἦν δὲ καὶ τὴν ψυχὴν ἀνδρειότατος. ἀδασανίστως δὲ καὶ τοῖς ἀδελφοῖς συνεβίωσε, τρισὶν ἔσι, πάνυ σφόδρα ἀγαπήσας αὐτὸς, καὶ ὑπ' αὐτῶν φιληθεὶς ἐν τῷ μέρει. τοῦτο φασὶ καὶ Σιμωνίδης συνεβίωσε καὶ Πίνδαρος. καὶ ἐκ ὤκνησέ γε Σιμωνίδης, βαρὺς ὢν ὑπὸ γήρως, πρὸς αὐτὸν ἀφικέσθαι. ἦν μὲν γὰρ καὶ Φύσει φιλάργυρος ὁ Κεῖος. πρέπτρεπε δὲ αὐτὸν καὶ πλέον ἢ τὸ Ἱέρωνος φιλοδωρία, φασίν.

Κεφ. β'.

Περὶ Ταυροσθένους νίκης.

Ὅτι ἐν Αἰγίνῃ ἐξ Ὀλυμπίας αὐθημερὸν διηγγέλη ἡ νίκη τῷ Ταυροσθένει τῷ πατρὶ αὐτοῦ ὑπὸ φάσματος φασιν ἄλλοι δὲ φασι περισεραν τὸν Ταυροσθένην ἐπάγεσθαι, ἀπολιπεσαν τὰς ἑαυτῆς νεοσσὰς, ὑγρὰς ἔτι καὶ ἀπτήνας. νικήσαντα δὲ ἀφεῖναι τὴν πελειάδα, προσάψαντα πορφυρᾶν αὐτῇ· τὴν δὲ ἐπειγομένην πρὸς τὰς νεοττὰς, 1) ἀπαυθημερῆσαι ἐκ Πίσης εἰς Αἴγιναν.

Κεφ. γ'.

Περί τινων καὶ τῆς τοῦ Ἀλεξάνδρου τρυφῆς καὶ ὑπερηφανίας.

Ὅτι διέθυπτε τοὺς ἑταίρους Ἀλέξανδρος, τρυφῶν ἐπιχωρῶν αὐτοῖς. ἔνθεν καὶ Ἄγνων χρυσοῦς ἤλους ἐν ταῖς κρηπῖσιν ἐφόρει. Κλεῖτος δὲ, εἴποτε μέλλοι τισὶ χρηματίζειν, ἐπὶ πορφυρῶν βαδίζων εἱμάτων τοὺς δεομένους προσίετο. Περδίκκα δὲ καὶ Κρατερῷ φιλογυμνασίοις ἠκολούθουν διφθέραι σαδιαῖαι τὸ μέγεθος, ἀφ' ὧν περιλαμβάνοντες τόπον εὐμεγέθη ἐν ταῖς καταστρα-

1) ἀπαυθημερίσαι.

τοπεδείαις ἐγυμνάζοντο. εἵπετο δὲ αὐτοῖς καὶ πολλὴ κόνις δι' ὑποζυγίων, εἰς τὰ γυμνάσια λυσιτελὴς ἔσα. Λεοννάτῳ καὶ Μενελάῳ φιλοθηρεῖν αὐλαῖαι σαδίων ἑκατὸν ἠκολούθουν. Αὐτῷ δὲ Ἀλεξάνδρῳ ἡ μὲν σκηνὴ ἦν κλινῶν ἑκατόν· χρυσοῖ δὲ κίονες πεντήκοντα διειλήφεσαν αὐτὴν, καὶ τὸν ὄροφον αὐτῆς ἀνεῖχον. αὐτὸς δὲ ὁ ὄροφος διάχρυσος ἦν, καὶ ἐκπεποίητο ποικίλμασι πολυτελέσι. καὶ πρῶτοι μὲν Πέρσαι πεντακόσιοι οἱ καλούμενοι μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεισαν, πορφυρᾶς καὶ μηλίνας ἠθημένοι σολάς. ἐπ' αὐτοῖς δὲ τοξόται χίλιοι φλόγινα ἐνδεδυκότες καὶ ὑσγνοβαφῆ. πρὸ δὲ τούτων οἱ ἀργυράσπιδες 1) ἑκατὸν Μακεδόνες. ἐν μέσῃ δὲ τῇ σκηνῇ χρυσᾶς ἐτίθετο δίφρος, καὶ ἐπ' αὐτῷ καθήμενος Ἀλέξανδρος ἐχρημάτιζε, περιεστώτων αὐτῷ πάντοθεν τῶν σωματοφυλάκων. περιῆει δὲ τὴν σκηνὴν περίβολος, ἔνθα ἦσαν Μακεδόνες χίλιοι, καὶ Πέρσαι μύριοι. καὶ εὐδεὶς ἑτοίμως ῥᾳδίως προσελθεῖν αὐτῷ. πολὺ γὰρ ἦν τὸ ἐξ αὐτοῦ δέος, ἀρθέντος ὑπὸ φρονήματος καὶ τύχης εἰς τυραννίδα.

1) πεντακόσιοι Μακ.

Κεφ. δ'.

Περὶ Πολυκράτες σπουδῆς περὶ τὸν Ἀνακρέοντα, καὶ ζηλοτυπίας.

Πολυκράτης ὁ Σάμιος ἐν Μέσαις ἦν, καὶ Ἀνακρέοντα ἐτίμα τὸν Τήϊον, καὶ διὰ σπουδῆς ἦγε, καὶ ἔχαιρεν αὐτῷ, καὶ τοῖς ἐκείνε μέλεσιν· ἐκ ἐπαινῶ δὲ αὐτᾶ τὴν τρυφήν. Ἀνακρέων ἐπήνεσε Σμερδίην θερμότερον, τὰ παιδικὰ Πολυκράτες. εἶτα ἤσθη τὸ μειράκιον τῷ ἐπαίνῳ, καὶ τὸν Ἀνακρέοντα ἠσπάζετο σεμνῶς, εὖ μάλα ἐρῶντα τῆς ψυχῆς, ἀλλ' ἐ τᾶ σώματος. μὴ γάρ τις ἡμῖν διαβαλέτω πρὸς θεῶν τὸν ποιητὴν τὸν Τήϊον, μὴ δ' ἀκόλασον εἶναι λεγέτω. ἐζηλοτύπησε δὲ Πολυκράτης, ὅτι τὸν Σμερδίην ἐτίμησε, καὶ ἑώρα τὸν ποιητὴν ὑπὸ τᾶ παιδὸς ἀντιφιλέμενον. καὶ ἀπέκειρε τὸν παῖδα ὁ Πολυκράτης, ἐκεῖνον μὲν αἰχύνων, οἰόμενος δὲ λυπεῖν Ἀνακρέοντα. ὁ δὲ ἐ προσεποιήσατο αἰτιᾶσθαι τὸν Πολυκράτην, σωφρόνως καὶ ἐγκρατῶς· μετήγαγε δὲ τὸ ἔγκλημα ἐπὶ τὸ μειράκιον, ἐν οἷς ἐπεκάλει τόλμαν αὐτῷ καὶ ἀμαθίαν, ὁπλισαμένῳ κατὰ τῶν ἑαυτᾶ τριχῶν. τὸ δὲ ἆσμα τὸ ἐπὶ τῷ πάθει τῆς κόμης Ἀνακρέων

κρέων ᾄσατο. ἐμᾶ γὰρ αὐτὸς ἄμεινον ᾄσεται.

Κεφ. ε'.

Περὶ Ἱέρωνος καὶ Θεμιστοκλέες.

Θεμιστοκλῆς Ἱέρωνα ἥκοντα εἰς Ὀλύμπια, Ὀλυμπίων ἀγομένων, ἵππες ἄγοντα, εἶρξε τῆς ἀγωνίας, εἰπών, τὸν μὴ μεταλαβόντα τᾶ μεγίστε τῶν κινδύνων, τῶν παρηγύρεων μεταλαμβάνειν μὴ δεῖν. καὶ ἐπηνέθη Θεμιστοκλῆς.

Κεφ. ς'.

Περὶ Περικλέες καὶ υἱῶν αὐτᾶ λοιμῷ ἀποθανόντων.

Ὅτι Περικλῆς, ἐν τῷ λοιμῷ τὲς παῖδας ἀποβαλὼν, ἀνδρειότατα τὸν θάνατον αὐτῶν ἤνεγκε, καὶ πάντας Ἀθηναίες εὐθυμότερον ἔπεισε τὲς τῶν φιλτάτων θανατες φέρειν.

Κεφ. ζ'.

Περὶ Σωκράτες ἐν πᾶσιν εὐθυμίας.

Ἔλεγεν ἡ Ξανθίππη, ὡς μυρίων μεταβολῶν τὴν πόλιν καταχθσῶν, ἐν πάσαις ὅμοιον ἦν τὸ Σωκράτες πρόσωπον, καὶ προ-

περιόντος ἐκ τῆς οἰκίας, καὶ ἐπανιόντος, ἀεὶ θεᾶσθαι. ἥμοσο γὰρ πρὸς πάντα ἐπιεικῶς, καὶ ἦν ἵλεως ἀεὶ τὴν διάνοιαν, καὶ λύπης ὑπεράνω πάσης, καὶ φόβου κρείττων παντὸς ὤν.

Κεφ. ή.

Ὅτι ἀκόλαστος περὶ γυναῖκας ὁ Διονύσιος.

Ὁ νέος Διονύσιος εἰς τὴν Λοκρῶν πόλιν παριὼν (ἔνθα ἡ Δωρὶς ἡ μήτηρ αὐτοῦ Λοκρὶς ἦν) τὰς οἴκας τῶν μεγίστων τῶν ἐν τῇ πόλει καταλαμβάνων, ῥόδοις, καὶ ἑρπυλλοις, καὶ ἄλλοις ἄνθεσι καταστρωννὺς, τὰς τῶν Λοκρῶν θυγατέρας μετεπέμπετο, καὶ συνῆν αὐταῖς ἀκολαστότατος. ὑπὲρ δὴ τούτου ἔτισε δίκην. ἐπειδὴ γὰρ αὐτῷ ἡ τυραννὶς κατελύθη ὑπὸ Δίωνος, ἐνταῦθα οἱ Λοκροὶ τὴν γυναῖκα τοῦ Διονυσίου καὶ τὰς θυγατέρας κατεπόρνευσαν, καὶ ἀνεδην αὐταῖς ἐνυβρίζον παντες, μάλισα οἱ πρεσβύτατοι ταῖς παρθένοις τοῦ ὑπὸ Διονυσίου διεφθαρμένοις. ἡνίκα δὲ διακορεῖς ἐγένοντο ὑβρίζοντες, κεντοῦντες αὐτὰ ὑπὸ τοῖς ὄνυξι τοῖς τῶν χειρῶν βελόναις ἀπέκτειναν. τὰ δὲ ὀστᾶ κατέκοψαν ἐν ὅλμοις,

ὅλμοις, καὶ τὰ κρέα τῶν ὀστῶν ἀφελόντες ἐπηρέασαντο τοῖς μὴ γευσαμένοις αὐτῶν· εἴ δέ τι περιελείφθη ἐξ αὐτῶν, κατεπόντωσαν. ὁ δὲ ἐν Κορίνθῳ πολλαῖς καὶ ποικίλαις χρησάμενος βίου μεταβολαῖς, διὰ τὴν ὑπερβάλλουσαν ἀπορίαν, τελευταῖον δὲ μητραγυρτῶν, καὶ πρόσων τύμπανα, καὶ κατανοσλέμενος δὲ τὸν βίον κατέζεψεν.

Κεφ. θ'.

Ὅτι καὶ Δημήτριος ἀκόλαστος.

Δημήτριος ὁ πολιορκητὴς ἤρεσε τὰς πόλεις, καὶ τῇ ἑαυτοῦ τρυφῇ καταχρώμενος, χίλια μὲν καὶ διακόσια τάλαντα πρόσοδον ἑαυτῷ περιεποιήσατο καθ' ἕκαστον ἔτος, καὶ ἐκ τούτων ὀλίγα μὲν ἐς τὸ στρατόπεδον ἐδαπάνα, τὰ δὲ λοιπὰ εἰς τὴν ἀκολασίαν τὴν ἑαυτοῦ. μύρεσις τε ἐρραίνετο καὶ 1) αὐτῷ τὸ δάπεδον, καὶ καθ' ἑκάστην ἔτους ὥραν τὰ ἐναγκιζόντα τῶν ἀνθῶν ταῦτα ὑπεστρώννυτο αὐτῷ, ἵνα κατ' αὐτῶν βαδίζῃ. ἦν δὲ καὶ πρὸς γυναῖκας ἀκόλαστος, καὶ νεανικοῖς ἔρωσιν ἐπεχείρει. ἐμελε δὲ αὐτῷ καὶ καλὸν εἶναι εὐθετίζοντι τὴν τρίχα, καὶ ξανθιζομένῳ, καὶ ὑπαλειφομένῳ τὸ πρόσωπον παιδέρωτι. καὶ τοῖς ἄλλοις δὲ

1) αὐτό.

δὲ ἐχρῆτο ἀλείμμασι προσφιλοτιμέμενος τῇ ῥᾳθυμίᾳ.

Κεφ. ί.

Περὶ Πλάτωνος βίου ὀλιγωρίας.

Ὁ Πλάτων, νοτερῷ χωρίῳ λεγομένῳ εἶναι τῆς Ἀκαδημίας, καὶ συμβλευόντων αὐτῷ ἰατρῶν εἰς τὸ Λύκειον μετοικῆσαι, οὐκ ἠξίωσεν, εἰπών· ἀλλ' ἔγωγε οὐκ ἂν ἐδὲ εἰς τὰ ἄκρα τὰ τοῦ Ἄθω μετῴκησα ἂν ὑπὲρ τοῦ 1) μακροβιωτέρῳ γενέσθαι.

Κεφ. ιά.

Περὶ Παῤῥασίου τοῦ ζωγράφου.

Παῤῥάσιος ὁ ζωγράφος, ὅτι μὲν πορφυρίδα ἐφόρει, καὶ χρυσοῦν στέφανον περιέκειτο, μαρτυροῦσι καὶ ἄλλοι, καὶ τὰ ἐπιγράμματα δὲ ἐπὶ πολλῶν εἰκόνων αὐτοῦ. ἠγωνίσατο δέ ποτε ἐν Σάμῳ, συνέτυχε δὲ ἀντιπάλῳ ᾧ κατὰ πολὺ ἐνδεεστέρῳ αὐτοῦ, εἶτα ἡττήθη. τὸ δὲ ἐπίγραμμα ἦν 2) αὐτῶν ὁ Αἴας ὑπὲρ τῶν ὅπλων τῶν Ἀχιλλέως ἀγωνισάμενος πρὸς τὸν Ὀδυσσέα ἡττηθεὶς δὲ, εὖ μάλα εἰκότως ἀπεκρίνατο πρὸς τὸν συναχθόμενον αὐτῷ τῶν ἑταίρων ὁ Παῤῥάσιος. ἔφη γὰρ αὐτὸς μὲν ὑπὲρ τῆς ἥττης

1) μακροβιώτατος. 2) αὐτῷ.

ἥττης ὀλίγον φροντίζειν. συνάχθεσθαι δὲ τῷ παιδὶ τῷ Τελαμῶνος, δεύτερον τοῦτο ὑπὲρ τῶν αὐτῶν ἡττηθέντι. κατεῖχε δὲ καὶ σκίπωνα χρυσᾶς ἕλικας ἔχοντα περιερπούσας, χρυσοῖς τε ἀναστάσεσιν ἐπέσφιγγε τὰς ἀναγωγέας τῶν βλαυτῶν. φασὶ δὲ αὐτὸν μηδὲ ἄκοντα, μηδὲ ἐπιπόνως τὰ ἐν τῇ τέχνῃ χειρεργεῖν, πάνυ δὲ εὐθύμως καὶ ῥᾳδίως. καὶ γὰρ καὶ ᾖδεν, καὶ ὑποκινυρόμενος τὸν κάματον τὸν ἐκ τῆς ἐπιστήμης ἐπειρᾶτο ἐπελαφρύνειν. λέγει δὲ ταῦτα Θεόφραστος.

Κεφ. βί.

Περὶ Ἐπικρείων ἐξωθέντων ὑπὸ Ῥωμαίων καὶ Μεσσηνίων.

Ὅτι Ῥωμαῖοι Ἀλκαῖον καὶ Φιλίσκον τὼς Ἐπικρείως ἐξέβαλον τῆς πόλεως, ὅτι πολλῶν καὶ ἀτόπων ἡδονῶν εἰσηγηταὶ τοῖς νέοις ἐγένοντο. καὶ Μεσσήνιοι δὲ ἐξέωσαν τὼς Ἐπικρείως.

Κεφ.

Κεφ. ιγ'.

Περὶ Διονυσίδ ἀδδηφαγίας καὶ ταχύτητος.

Διονύσιον τὸν Ἡρακλεώτην, Κλεάρχδ τῦ τυράννδ υἱόν, ἀκόδω ἐκ τῆς καθ' ἡμέραν ἀδδηφαγίας καὶ τρυφῆς λαθεῖν αὐτὸν ὑπερσαρκήσαντα καὶ καταπιανθέντα. τὰ ἐπίχειρα γᾶν τῦ κατὰ τὸ σῶμα μεγέθος, καὶ τῦ περὶ τὰς σάρκας ὄγκδ, ἐκαρπώσατο δύσπνοιαν. Φάρμακον ἓν αὐτῷ τῦδε τῦ πάθος συνέταξαν οἱ ἰατροὶ Φασὶ, βελόνας λεπτὰς κατασκευάσαι μηκίσας, εἶτα ταύτας διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν, ὅταν εἰς ὕπνον τύχη βαθύτερον ἐμπεσών. ἦν δὲ ἄρα τῦτο ἐπιμελὲς ἑτέροις δρᾶν, ἕς ἂν ὅλη διὰ τῆς πεπωρωμένης καὶ τρόπον τινὰ ἀλλοτρίας αὐτῦ σαρκὸς διεῖρπεν ἡ βελόνη, ἀλλ' ἐκεῖνός γε ἔκειτο λίθδ διαφέρων ἐδέν. εἰ δὲ ἀφίκετο τὸ βέλος ἔνθα λοιπὸν ἦν 1) αὐτὸ τὸ σῶμα ἐῤῥωμένον, καὶ ἴδιον, ἀλλ' ἐκ ἐκ τῆς ἄγαν τιμελῆς ἀλλότριον, τηνικαῦτα καὶ ἐκεῖνος ἠθάνετο, καὶ ἠγείρετο ἐκ τῦ ὕπνδ. τὲς δὲ χρηματισμὲς ἐποιεῖτο τοῖς βελομένοις αὐτῷ προσιέναι, κιβωτὸν τῦ σώματος προ-

1) αὐτῷ.

βαλλόμενος. οἱ δὲ ἀδὲ κιβωτόν Φασιν, ἀλλὰ πυργίσκον, ἵνα τὰ μὲν λοιπὰ μέρη αὐτῦ ἀποκρύπτοιτο, τὸ δὲ πρόσωπον μόνον ὑπερέχον διαλέγηται. πονηρὰν, ὦ θεοὶ, ταύτην ἐκεῖνος τὴν ϛολὴν ἀμπεχόμενος, καὶ θηρίδ φρυκτᾶν μᾶλλον, ἢ ἀνθρώπδ ἐῤῥῆτα.

Κεφ. ιδ'.

Περὶ Φιλήτα σώματος λεπτότητος.

Φιλήταν λέγεσι τὸν Κῶον λεπτότατον γενέσθαι τὸ σῶμα. ἐπεὶ τοίνυν ἀναπαῆναι ῥᾴδιος ἦν ἐκ πάσης προφάσεως, μολίβδε (Φασὶ) πεποιημένα εἶχεν ἐν τοῖς ὑποδήμασι πέλματα, ἵνα μὴ ἀνατρέπηται ὑπὸ τῶν ἀνέμων, εἴ ποτε σκληροὶ κατέπνεον. εἰ δὲ ἦν ἔτως ἀδύνατος, ὥϛε μὴ ἀντέχειν πνεύματι, πῶς οἷός τε ἦν τοσῦτον Φορτίον ἐπάγεσθαι; ἐμὲ μὲν ἓν τὸ λεχθὲν ἐ πείθει· ὁ δὲ ἔγνων ὑπὲρ τῦ ἀνδρὸς, τῦτο εἶπον.

Κεφ. ιε.

Περὶ Ὁμήρδ.

Ὅτι ποιητικῆς ἁπάσης Ἀργεῖοι τὰ πρῶτα Ὁμήρῳ ἔδωκαν, δευτέρδς δὲ αὐτῦ ἔπατ-

ἕτατλον πάντας. ποιῆντες δὲ θυσίαν, ἐπὶ ξενίᾳ ἐκάλεν τὸν Ἀπόλλωνα καὶ Ὅμηρον. λέγεται δὲ καὶκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν ἐκδῶναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια· καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.

Κεφ. ις'.

Περὶ Ἰταλίας, καὶ Μάρσ ἱπποµιγῆς ἀνθρώπσ.

Τὴν Ἰταλίαν ᾤκησαν πρῶτοι Αὔσονες αὐτόχθονες. πρεσβύταλον δὲ γενέσθαι Μάρην τινὰ καλούμενον, ὃ τὰ μὲν ἔμπροσθεν λέγουσιν ἀνθρώπῳ ὅμοια, τὰ κατόπισθεν δὲ ἵππσ, καὶ αὐτὸ δὲ τοῦνομα εἰς τὴν Ἑλλάδα, φασὶν, ἱπποµιγὴς δύναται. δοκεῖ δέ μοι πρῶτος ἵππον ἀναβῆναι, καὶ ἐμβαλεῖν αὐτῷ χαλινὸν, εἶτα ἐκ τούτσ διφυὴς πιστευθῆναι. μυθολογοῦσι δὲ αὐτὸν, καὶ βιῶναι ἔτη τρία καὶ εἴκοσι καὶ ἑκατόν· καὶ ὅτι τρὶς ἀποθανών, ἐβίω τρίς. ἐμοὶ δὲ ἃ πιστὰ δοκοῦσιν. Ὅτι τὴν Ἰταλίαν φασὶν, οἰκῆσαι ἔθνη πάμπολλα, καὶ ὅσα ἐκ ἄλλην γῆν. τὸ δὲ αἴτιον. διὰ τὴν τῶν ὡρῶν εὐκρασίαν, καὶ τὴν τῆ χώρας ἀρετὴν, καὶ τὸ ἔνυδρον αὐτῆς, καὶ τὸ πάμφορον, καὶ τὸ

τὸ εὔβοτον, καὶ ὅτι ποταμοῖς ἐσι κατάρρυτος, καὶ ὅτι θάλασσα ἀγαθὴ παράκειται αὐτῇ, ὅρμοις πανταχόθεν διειλημμένη, καὶ καταγωγαῖς ἀφθόνοις, καὶ κατάρσεσιν. ἀλλὰ καὶ τὸ τῶν οἰκητόρων ἦμερον καὶ πρᾷον ἐπῆρε πολλὰς εἰς τὴν μετοίκησιν. Καὶ ὅτι πόλεις ᾤκησαν τὴν Ἰταλίαν πάλαι ἑπτὰ καὶ ἐννενήκοντα καὶ ἑκατὸν πρὸς ταῖς χιλίαις.

Κεφ. ιζ'.

Περὶ Δημοθένους τύφσ.

Κεφότητα ἔοικε κατηγορεῖν ἅτος ὁ λόγος, ὁ λέγων περὶ Δημοθένσ, ὅτι ἄρα τύφσ αὐτὸν ὑπεπλήρσν καὶ οἱ ὑδροφορῆντες, εἴ ποτε παριόντος αὐτοῦ ὑπὲρ αὐτοῦ τι ψιθυρίσαιεν. ὃς γὰρ καὶ ὑπ' ἐκείνων ἐκσφίζετο, καὶ ἐπαιρόμενος [ἦν] δῆλος, τίς ἦν, εἴποτε ὑπὸ τῆς ἐκκλησίας ἐκροτήθη.

Κεφ. ιή.

Περὶ Θεμισοκλέσς.

Θεμισοκλῆς ὁ Νεοκλέσς ἑαυτὸν εἴκαζε ταῖς δρυσὶ, λέγων ὅτι ἐκείνας ὑπερέχονται οἱ ἄνθρωποι, καὶ δέονται αὐτῶν, ὅταν

ὅταν ὑῆ, 1) σέγειν ἐκ τῶν κλάδων παθόντες. ὅταν δὲ ὅσης εὐδίας παρίωσι, τίλλουσιν αὐτὰς, καὶ περικλῶσιν. Ὁ δὲ αὐτὸς ἔλεγεν, εἴ μοί τις ὁδὸς δύο δείξειε, τὴν μὲν εἰς ᾅδου φέρουσαν, τὴν δὲ ἐπὶ τὸ βῆμα, ἥδιον ἂν τὴν ἑτέραν ἦλθον τὴν εὐθὺ τοῦ ᾅδου.

Κεφ. ιθ'.

Ὅτι ὁ Δημοσθένης καλῶν τὸν Διογένους, εἰς καπηλεῖον ἐκ ἤθελεν εἰσιέναι.

Ἤρίστα ποτὲ Διογένης ἐν καπηλείῳ· εἶτα παριόντα Δημοσθένη ἐκάλει· τοῦ δὲ μὴ ὑπακόσαντος, αἰσχύνη ἔφη Δημόσθενες παρελθεῖν εἰς καπηλεῖον· καὶ μὴν ὁ κύριός σου καθ' ἑκάστην ἡμέραν ἐνθάδε εἴσεισι, τοὺς δημότας λέγων, καὶ τοὺς καθ' 2) ἕνα δηλῶν. ὅτι οἱ δημηγόροι, καὶ οἱ ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσί.

Κεφ. κ'.

Περὶ Ἀρισίππου.

Πλέων Ἀρίσιππος χειμῶνος ἐπιγενομένου πάνυ σφόδρα ἐταράττετο· ἔφη δέ τις τῶν συμπλεόντων, Ὦ Ἀρίσιππε, καὶ σὺ δέδοι-

1) σέγειν. 2) ἕνα· δηλῶν, ὅτι.

δέδοικας, ὡς οἱ πολλοί; ὁ δὲ, καὶ μάλα γε εἰκότως· Ὑμῖν μὲν γὰρ περὶ κακοδαίμονός ἐστι βίου ἡ σπουδὴ, καὶ ὁ νῦν κίνδυνος, ἐμοὶ δὲ περὶ 1) εὐδαιμονίας.

Κεφ. κά.

Περὶ Θηραμένους.

Θηραμένης ἔτυχεν ἐν οἰκίᾳ τινὶ διατρίβων, εἶτα ἐπεὶ προῆλθεν αὐτῆς, παραχρῆμα ἐκείνη κατηνέχθη. 2) καὶ οἱ μὲν Ἀθηναῖοι ἄλλοι ἀλλαχόθεν αὐτῷ περιφύντες συνήδοντο ἐπὶ τῇ σωτηρίᾳ τῇ παραδόξῳ. ὁ δὲ παρὰ τὴν πάντων ἐλπίδα ἀπεκρίνατο· Ὦ Ζεῦ ἐς τίνα με καιρὸν φυλάττεις; καὶ μετ' ὀλιγὸν χρόνον ὑπὸ τῶν τριάκοντα ἀνῃρέθη, πιεῖν κώνειον καταναγκασθείς.

Κεφ. κβ'.

Τίνες περὶ τὴν ἰατρικὴν ἐσπούδασι.

Λέγουσι τοὺς Πυθαγορείους πάνυ σφόδρα περὶ τὴν ἰατρικὴν σπουδάσαι τέχνην. καὶ Πλάτων δὲ Φρυντίδα εἰς αὐτὴν ἔχει πλείστην, καὶ Ἀριστοτέλης ὁ Νικομάχου, καὶ ἄλλοι πολλοί.

1) εὐδαίμονος. 2) del. καὶ.

Κεφ. κγ'.

Περὶ Ἀριστοτέλους νοσοῦντος.

Ἀριστοτέλης ἐνόσει ποτὲ, προσέταξε δὲ αὐτῷ ὁ ἰατρὸς πρόσταγμά τι. καὶ ἐκεῖνος, μήτε ὡς βοηλάτην μὲ (ἔφη) θεράπευε, μήτε ὡς σκαπανέα, ἀλλὰ διδάξας πρότερον τὴν αἰτίαν, ἔτως ἔξεις ἕτοιμον πρὸς τὸ πείθεσθαι· διδάσκων ἐκ τούτων, μηδὲν χωρὶς αἰτίας προσφέρειν.

Κεφ. κδ'.

Περὶ Σμινδυρίδου τρυφῆς.

Σμινδυρίδης ὁ Συβαρίτης ἐς τοσοῦτον τρυφῆς ἐξώκειλε, (καὶ γάρ τοι Συβαρίταις πᾶσιν ἔργον ἦν τρυφᾶν, καὶ τῷ βίῳ διαρρεῖν· ὁ δὲ Σμινδυρίδης, καὶ πλέον.) φύλλοις ῥόδων γῆν ἐπαναπεσὼν, καὶ κοιμηθεὶς ἐπ' αὐτῶν, ἐξανέστη, λέγων φλυκταίνας ἐκ τῆς εὐνῆς ἔχειν· χολὴ γὰρ ἔτος ἐπὶ χαμεύνης κατεκλίθη, ἢ σιβάδος, ἢ πόας ἐν προσάντει πεφυκυίας, ἢ ταύρου δορᾶς, ὡς ὁ Διομήδης, πρεπόντως στρατιώτῃ σκληρῷ καὶ γενναίῳ, ὑπὸ δ' ἔρωτος ξινὸν βοὸς ἀγραύλοιο.

Κεφ.

1) γ' ἂν ἔτος.

Κεφ. κέ.

Πῶς ὁ Πεισίστρατος τοῖς ἑαυτοῦ πολίταις ἐχρῆτο.

Πεισίστρατος ὅτε τῆς ἀρχῆς ἐγκρατὴς ἐγένετο, μετεπέμπετο τοὺς ἐν ταῖς ἀγοραῖς ἀποχολάζοντας, καὶ ἐπυνθάνετο, τί δήποτε εἴη τὸ αἴτιον τοῦ ἀλύειν 1) αὐτούς. καὶ ἐπέλεγεν, εἰ μέν σοι τέθνηκε ζεῦγος, παρ' ἐμοῦ λαβὼν ἄπιθι, καὶ ἐργάζου. εἰ δὲ ἀπορεῖς σπερμάτων, παρ' ἐμοῦ σοι γενέσθω· δεδιὼς, μὴ ἡ χολὴ τούτων ἐπιβολὴν τέκῃ.

Κεφ. κς'.

Περὶ Ζήνωνος καὶ Ἀντιγόνου.

Ζήνωνα τὸν Κιτιέα δι' αἰδοῦς ἄγαν καὶ σεμνότητος ἦγεν Ἀντίγονος ὁ βασιλεύς. καί ποτε ἐν ὑπερπλησθεὶς οἴνου ἐπεκώμασεν αὐτῷ Ζήνωνι. καὶ φιλῶν αὐτὸν, καὶ περιβάλλων, ἅτε ἔξοινος ὤν, ἠξίου τι αὐτὸν προστάξαι, ὁμνὺς, καὶ νεανιευόμενος σὺν ὅρκῳ, μὴ ἀτυχήσειν αἰτήσας. ὁ δὲ λέγει αὐτῷ, Πορευθεὶς ἔμεσον. σεμνῶς ἅμα, καὶ μεγαλοφρόνως τὴν μέθην ἐλέγξας, καὶ φεισάμενος αὐτοῦ, μήποτε διαῤῥαγῇ ὑπὸ πλησμονῆς.

 Κεφ.

1) αὐτόν.

Κεφ. κζ'.

Ἀφέλεια τρόπε.

Ἀνδρὶ Λακωνικῷ μὲν, χωριτικῷ δὲ, ἐπέπληξέ τις πενθοῦντι πάνυ σφόδρα ἐκθύμως. ὁ δὲ ἁπλάστως ἀπεκρίνατο. τί πάθω; φησίν. ἃ γὰρ ἐγὼ αἴτιος τούτε, αἱ φύσις δέ με ῥεῖ.

Κεφ. κή.

Περὶ Διογένες.

Ἐπήνει Σπαρτιάτης τὸ ἔπος Ἡσιόδε, τὸ λέγον·

Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη·

ἀκούοντος Διογένες· ὁ δὲ εἶπε, Καὶ μὴν Μεσσήνιοι καὶ οἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐσε οἱ γείτονες.

Κεφ. κθ'.

Ὅτι Σωκράτης ἀδεὴς ἦν, καὶ δώρων κατεφρόνει.

Τῆς νυκτὸς ἤδη προηκέσης ἐπάνεισί πο θεν ἀπὸ δείπνε Σωκράτης. νεανίσκοι γοῦν ἀκόλαστοι προμαθόντες ἐνελόχησαν ἐπανιόντα, δᾷδας ἔχοντες ἡμμένας, καὶ Ἐριννύων πρόσωπα. ἔθος δὲ ἦν αὐτοῖς, καὶ ἄλλοις προσπαίζειν διὰ τὴν χολὴν, τὴν ἐπὶ τὰ χείρω. ὃς ἰδὼν ὁ Σωκράτης ὑ διεταράχθη, ἀλλ' ἐπισὰς 1) ἠρώτησεν, εἶα καὶ τὰς ἄλλας ἢ ἐν Λυκείῳ, ἢ ἐν Ἀκαδημίᾳ.

Ὅτι ἐφιλοτιμήσατο Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι Σωκράτει. τῆς δ' ἐν Ξανθίππης καταπλαγείσης τὰ πεμφθέντα, καὶ ἀξιώσης λαβεῖν αὐτά, ἔδε ἔφη· ἀλλὰ καὶ ἡμεῖς τῇ φιλοτιμίᾳ τῇ τε Ἀλκιβιάδε παραταξώμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα φιλοτιμησάμενοι. Ἐπεὶ δέ τις ἔφη πρὸς αὐτὸν, ὅτι μέγα ἐσὶν, ὧν ἐπιθυμεῖ τις, τούτων τυχεῖν· ὅδε, Ἀλλὰ μεῖζόν ἐσι τὸ μηδὲ ἐπιθυμεῖν τὴν ἀρχήν.

Κεφ. λ'.

Περὶ τῆς Ἀναξάρχε προμηθείας.

Ἀνάξαρχος ὅτε σὺν Ἀλεξάνδρῳ ἐστρατεύετο, χειμῶνος ἐπιγενομένε, προμαθὼν, ὅτι μέλλει ὁ Ἀλέξανδρος ἐν ἀξύλῳ ποιεῖσθαι χωρίῳ τὴν στρατοπεδείαν, εἰς τὸν σαθμὸν, ὅσα ἔσχε σκεύη, ταῦτα ἐγκρύψας, ταῖς σκευοφόροις ἐπέθηκε ξύλα. ἐπεὶ δὲ εἰς τὸν σαθμὸν ἀφίκοντο, καὶ ἐνέδει ξύλων, Ἀλεξάνδρε μὲν αἱ κλῖναι κατεκαίοντο, ἵνα

1) ἠρώτα.

ἑαυτὸν ἀλεᾶναι δυνηθῇ. ἐπεὶ δέ τις παρὰ Ἀναξάρχῳ πῦρ εἶναι ἤγγειλεν, ἀφίκετο παρ' αὐτόν. καὶ ἠλείψατο ἐν τῇ σκηνῇ τοῦ Ἀναξάρχου, καὶ πυθόμενος τὴν προμηθείαν ὑπερεπήνεσε, καὶ ἐξ ὧν ἔρριψε, διπλάσιον δέδωκε, καὶ σκεύη, καὶ ἱμάτια, ὑπὲρ τῆς τοῦ πυρὸς χρείας.

Κεφ. λά.

Περὶ ἀρισεύσαντος ἀθλητοῦ πρὸ τοῦ στέφανον λαβεῖν ἀποθανόντος.

Ἀθλητὴς Κροτωνιάτης ὀλυμπιονίκης ἀπιὼν πρὸς τοὺς Ἑλλανοδίκας, ἵνα λάβῃ τὸν στέφανον, ἐπίληπτος γενόμενος ἀπέθανε, κατενεχθεὶς μετὰ [τοῦ] πτώματος.

Κεφ. λβ'.

Περὶ Φρύνης ἑταίρας καὶ Κίμωνος ἵππων ἀγαλμάτων.

Φρύνην τὴν ἑταίραν ἐν Δελφοῖς ἀνέστησαν οἱ Ἕλληνες ἐπὶ κίονος εὖ μάλα ὑψηλοῦ. ἐκ ἐρῶ δὲ ἁπλῶς τοὺς Ἕλληνας, ὡς ἂν μὴ δοκοίην δι' αἰτίας ἄγειν πάντας, ὃς φιλῶ πάντων μάλιστα· ἀλλ' οἱ τῶν Ἑλλήνων ἀκρατέστεροι. τὸ δὲ ἄγαλμα χρυσοῦν ἦν. καὶ αἱ Κίμωνος δὲ ἵπποι χαλκαῖ, καὶ αὗται Ἀθήνησιν εἰκασμέναι ὅτι μάλιστα τοῖς Κίμωνος ἵπποις εἰσήκεσαν.

Κεφ. λγ'.

Μειρακίου ἀπόκρισις ἐρωτηθέντος ὑπὸ τοῦ πατρὸς τί ἂν μάθοι.

Μειρακίου Ἐρετρικοῦ Ζήνωνι προσεφοίτησε πλείονα χρόνον. ἐπανελθόντα δὲ ἤρετο ὁ πατὴρ, τί ἂν μάθοι σοφόν; ὁ δὲ ἔφη δείξειν. χαλεπήναντος δὲ τοῦ πατρὸς, καὶ πληγὰς ἐντείναντος, τὴν ἡσυχίαν ἀγαγὼν, καὶ ἐγκαρτερήσας, τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατρός.

Κεφ. λδ'.

Περὶ τῶν πολυτελῶς ἠθημένων.

Διογένης εἰς Ὀλυμπίαν ἐλθὼν, καὶ θεασάμενος ἐν τῇ πανηγύρει Ῥοδιακές τινας νεανίσκους πολυτελῶς ἠθημένους, γέλασας ἔφη, τύφος τοῦτό ἐστι. εἶτα περιτυχὼν Λακεδαιμονίοις ἐν ἐξωμίσι φαύλαις καὶ ξυπώσαις· Ἄλλος (εἶπεν) ὅτος τύφος.

Κεφ. λέ.

Περὶ Ἀντισθένους μεγαλοφροσύνης ἐπὶ διερρωγότι ἱματίῳ.

Ὁ δὲ Σωκράτης, ἰδὼν τὸν Ἀντισθένη τὸ διερρῳγὸς ἱματίδ μέρος, ἀεὶ ποιῶλα φανερόν· ἃ παύσῃ (ἔφη) ἐγκαλλωπιζόμενος ἡμῖν.

Κεφ. λς'.

Περὶ Ἀντιγόνου καὶ ψάλτου.

Ψάλτης Ἀντιγόνῳ ἐπεδείκνυτο. τοῦ δὲ πολλάκις λέγοντος, τὴν νήτην ἐπίσφιγξον, εἶτα πάλιν τὴν μέσην· ὄδε ἀγανακτήσας ἔφη, Μὴ γένοιτό σοι ἕτω κακῶς, ὦ βασιλεῦ, ὡς ἐμοῦ ταῦτα ἀκριβοῦν μᾶλλον.

Κεφ. λζ'.

Πῶς ὁ Ἀνάξαρχος Ἀλέξανδρον ἑαυτὸν ἐκθειάσαντα ἐγέλασεν.

Ἀνάξαρχος ὁ ἐπικληθεὶς εὐδαιμονικὸς, κατεγέλα Ἀλεξάνδρου, ἑαυτὸν ἐκθειάσαντος. ἐπεὶ δὲ ἐνόσησέ ποτε Ἀλέξανδρος, εἶτα προσέταξεν αὐτῷ ὁ ἰατρὸς φόφημα σκευασθῆναι· γελάσας ὁ Ἀνάξαρχος, Τοῦ μέν τοι θεοῦ ἡμῶν (εἶπεν) ἐν τρυβλίῳ φοφήματι αἱ ἐλπίδες κεῖνται.

Κεφ.

Κεφ. λή.

Περὶ Ἀλεξάνδρου, καὶ τῆς τοῦ Πάριδος λύρας.

Ὁ μὲν Ἀλέξανδρος εἰς τὴν Ἴλιον ἦλθεν. ἀνασκοποῦντι δὲ αὐτῷ φιλοπόνως, τῶν τις Τρώων προσελθὼν τὴν λύραν ἐδείκνυεν Ἀλεξάνδρου· ὁ δὲ ἔφη, προτιμησαίμην ἂν μᾶλλον ἰδεῖν τὴν Ἀχιλλέως 1) ὑπέρ γε τὴν Ἀλεξάνδρου. ἐπόθει γὰρ κτῆμα ἀγαθοῦ στρατιώτου, ᾧ συνῆδεν ἐκεῖνος τὰ τῶν ἀγαθῶν ἀνδρῶν κλέα. τοῦ δὲ Πάριδος τί ἄρα ἦσεν ἡ λύρα, εἰ μὴ μέλη μοιχικὰ, καὶ οἷα αἱρεῖν γυναῖκας καὶ θέλγειν;

Κεφ. λθ'.

Περὶ γελοίων καὶ παραδόξων ἐρώτων.

Πῶς δὲ ἂν φαίη τις γελοίους ἅμα, καὶ παραδόξους τοὺσδε τοὺς ἐρῶντας; 2) τὸς μὲν Ξέρξου, ὅτι πλατάνου ἠράσθη. νεανίσκος δὲ Ἀθήνησι τῶν εὖ γεγονότων πρὸς τῷ πρυτανείῳ ἀνδριάντος ἐξῶτος τῆς ἀγαθῆς τύχης θερμότατα ἠράσθη. κατεφίλει γοῦν τὸν ἀνδριάντα περιβάλλων, εἶτα ἐκμανεὶς καὶ οἰστρηθεὶς ὑπὸ τοῦ πόθου,

1) Ὑπέρευγε τοῦτο Ἀλέξανδρος. 2) τὸν μ.

παρελθὼν εἰς τὴν βουλὴν, καὶ λιτανεύσας, ἕτοιμος ἦν πλείσων χρημάτων τὸ ἄγαλμα πρίασθαι. ἐπεὶ δὲ οὐκ ἔπειθεν, ἀναδήσας πολλαῖς ταινίαις, καὶ στεφανώσας τὸ ἄγαλμα, καὶ θύσας, καὶ κόσμον αὐτῷ περιβαλὼν πολυτελῆ, εἶτα ἑαυτὸν ἀπέκτεινε, μυρία προσκλαύσας.

Ἰλαύκης δὲ τῆς κιθαρῳδὸς, οἱ μὲν φασιν ἐραθῆναι κύνα, οἱ δὲ κριὸν, οἱ δὲ χῆνα. καὶ ἐν Σόλοις δὲ τῆς Κιλικίας παιδὸς Ξενοφῶντος ἠράθη κύων. 1) ἀλλ' ὁδὲ ὠραίῳ μειρακίῳ ἐν Σπάρτῃ κολοιός.

Κεφ. μ'.

Περὶ κυβερνητῶν τῶν Καρχηδονίων νεῶν.

Ὅτι Καρχηδόνιοι δύο κυβερνήτας εἰσῆγον εἰς τὴν ναῦν, ἄτοπον λέγοντες εἶναι, δύο μὲν πηδάλια ἔχειν, τὸν δὲ λυσιτελέστατον τοῖς ἐμπλέουσι, καὶ τὴν ἀρχὴν ἔχοντα τῆς νεὼς, ἔρημον εἶναι καὶ μόνον διαδόχου καὶ κοινωνοῦ.

Κεφ. μά.

Περὶ Παυσανίου καὶ Σιμωνίδου.

Ἔν τινι, φασὶ, συνδείπνῳ παρῆν Σιμωνίδης ὁ Κεῖος, καὶ Παυσανίας ὁ Λακεδαιμόνιος. προσέταξεν ἓν ὁ Παυσανίας τῷ Σιμωνίδῃ σοφόν τι εἰπεῖν. ὁ δὲ γελάσας ὁ Κεῖος, μέμνησο (εἶπεν) ἄνθρωπος ὤν. τοῦτο παραχρῆμα μὲν ἐξεφαύλισε Παυσανίας, καὶ παρ' ὀδὲν ἔθετο. ὑποτυφόμενος ἤδη εἰς τὸν τοῦ μηδίζειν ἔρωτα, καὶ μεγαλοφρονῶν ἐπὶ τῇ πρὸς Βασιλέα ξενίᾳ, ἴσως δὲ καὶ ὑπὸ τοῦ οἴνου παραφερόμενος. ἐπεὶ δὲ ἦν πρὸς τῇ Χαλκιοίκῳ, καὶ διεπάλαιε τῷ λιμῷ, καὶ ἔμελλεν ἀποθνήσκειν ἀνθρώπων ἀλγεινότατα, ἀλλὰ τηνικαῦτα ἐμνήσθη τοῦ Σιμωνίδου, καὶ ἐξεβόησεν εἰς τρὶς, ὦ ξένε Κεῖε, μέγα τι ἄρα χρῆμα ἦν ὁ λόγος σου, ἐγὼ δὲ ὑπ' ἀνοίας ὀδὲν αὐτὸν ὤμην εἶναι.

1) ἄλλος δὲ.

Κεφ. μβ'.

Περὶ Ἀρταξέρξου καὶ Δαρείου.

Ἀρταξέρξου ἀποκτείναντος τὸν πρεσβύτερον υἱὸν Δαρεῖον ἐπιβουλεύοντα, ὁ δεύτερος, ἀξιοῦντος τοῦ πατρὸς σπασάμενος τὸν ἀκινάκην, ἑαυτὸν πρὸ τῶν βασιλείων ἀπέκτεινεν.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

Κεφάλαιον ά.

Περὶ Φερενίκης Ὀλύμπια θεασαμένης.

Φερενίκη τὸν υἱὸν ἦγεν εἰς Ὀλύμπια ἀθλεῖν. κωλυόντων δὲ αὐτὴν τῶν Ἑλλανοδικῶν τὸν ἀγῶνα θεάσασθαι, παρελθοῦσα ἐδικαιολογήσατο, πατέρα μὲν ὀλυμπιονίκην ἔχειν, καὶ τρεῖς ἀδελφοὺς, καὶ αὐτὴ παῖδα Ὀλυμπίων ἀγωνιστήν. καὶ ἐξενίκησε τὸν δῆμον, καὶ τὸν εἴργοντα νόμον τῆς θέας τὰς γυναῖκας, καὶ ἐθεάσατο Ὀλύμπια.

Κεφ. β'.

Περὶ Εὐβάτα σωφροσύνης.

Εὐβάταν τὸν Κυρηναῖον ἰδοῦσα Λαὶς ἠράσθη αὐτοῦ θερμότατα, καὶ περὶ γάμου λόγους προσήνεγκεν. ὁ δὲ φοβηθεὶς τὴν ἐξ

ἐξ αὐτῆς ἐπιβολὴν, ὑπέχετο ταῦτα δράσειν. ἐὰν μὴν ὡμίλησεν αὐτῇ ὁ Εὐβάτας, σωφρόνως διαβιώσας. ἡ δὲ ὑπόχεσις αὐτοῦ μετὰ τὴν ἀγωνίαν ἦν. νικήσας ἦν, ἵνα μὴ δόξῃ διαφθείρας τὰς ὁμολογίας τὰς πρὸς τὴν ἄνθρωπον, εἰκόνα γραψάμενος τῆς Λαΐδος, εἰς τὴν Κυρήνην ἐκόμισε, λέγων ἄγειν Λαΐδα, καὶ μὴ παραβῆναι τὰς συνθήκας. ἀνθ' ὧν ἡ γυνὴ, ἣ νόμῳ γημαμένη αὐτῷ, παμμέγιστον ἀνδριάντα ἐν Κυρήνῃ ἀνέστησεν, αὐτὸν ἀμειβομένη τῆς σωφροσύνης.

Κεφ. γ'.

Περὶ ζώων τινῶν ἰδιότητος.

Τὰ τῶν περδίκων νεοττία, ἐπειδὰν τάχισα τὰς πόδας ἔξω ποιήσῃ τοῦ λέμματος, ἐντεῦθεν ἤδη δρομικώτατά εἰσι. τὰ δὲ τῶν νηττῶν νεοττία, ὅταν ἴδῃ φῶς, παραχρῆμα ἐξ ὠδίνων νήχεται. καὶ οἱ τῶν λεόντων δὲ σκύμνοι καταγεράφουσι τοῖς ὄνυξι τὰς μήτρας τῶν μητέρων, πρὸς φῶς ἐπειγόμενοι.

Κεφ. δ'.

Περὶ τῆς Ἀλεξάνδρε ταχυεργίας.

Ἀλέξανδρος ὁ Φιλίππε τρὶς τεσσαρακόσια σάδια ἐφεξῆς μεθ' ὅπλων ὁδοιπορήσας, συμβαλὼν τοῖς πολεμίοις, πρὶν ἀναπαῦσαι τὸ στρατόπεδον, ἐκράτησε τῶν ἐχθρῶν.

Κεφ. ε'.

Περὶ τυράννων ἐκ τῶν τῦ Αἰσώπε.

Φρύγιος ἦτος λόγος· ἔστι γὰρ Αἰσώπε τῦ Φρυγός· Τὴν ὗν, ἐάν τις ἅψηται αὐτῆς, βοᾷν, καὶ μάλα γε εἰκότως. ἔτε γὰρ ἔρια ἔχει, ἔτε ἄλλο τι. καὶ ὀνειροπολεῖ εὐθὺς τὸν θάνατον, εἰδυῖα εἰς ὅ, τι τοῖς χρησομένοις λυσιτελεῖ. Ἐοίκασι δὲ τῇ ὑὶ τῦ Αἰσωπε οἱ τύραννοι, ὑποπτεύοντες καὶ δεδοικότες πάντα. ἴασι γὰρ, ὅτι, ὡσπερὲν οἱ ὗς, ὀφείλεσι καὶ ἐκεῖνοι τὴν ψυχὴν πᾶσι.

Κεφ. ς'.

Περὶ ἀνδρῶν λεπτῶν.

Ἐκωμᾠδέντο εἰς λεπτότητα, Σαννυρίων ὁ κωμῳδίας ποιητὴς, καὶ Μέλητος ὁ τραγῳδίας ποιητὴς, καὶ Κινησίας κυκλίων χορῶν, καὶ Φιλήτας ποιητὴς ἑξαμέτρων. Ἀρχέστρατος δὲ ὁ μάντις ὑπὸ πολεμίων ἁλὼς, καὶ ὑπὸ ζυγὸν ἀναβληθεὶς, ὀβολῦ ὅλκην ἔχων εὑρέθη, ὥς φασι. καὶ Παυάρετος δὲ λεπτότατος ἦν· διετέλεσε μέντοι ἄνοσος. λέγσι δὲ καὶ Ἱππώνακτα τὸν ποιητὴν ἃ μόνον γενέσθαι μικρὸν τὸ σῶμα, καὶ ἀίχρον, ἀλλὰ καὶ λεπτόν. ἀλλὰ καὶ Φιλιππίδης, καθ' ἃ λόγος ἐστὶν Ὑπερίδῃ, λεπτότατος ἦν· ὅθεν καὶ τὸ πάνυ κατιχνῶσθαι τὸ σῶμα, πεφιλιππῶσθαι (φασὶν) ἔλεγον. μάρτυς Ἀλεξις.

Κεφ. ζ'.

Περὶ ἀστρολόγων τινῶν, καὶ μεγάλε ἐνιαυτῦ.

Οἰνοπίδης ὁ Χῖος ἀστρολόγος ἀνέθηκεν ἐν Ὀλυμπίοις τὸ χαλκῆν γραμματεῖον, ἐγγράψας ἐν αὐτῷ τὴν ἀστρολογίαν τῶν ἐνὸς δεόντων ἑξήκοντα ἐτῶν, φήσας τὸν μέγαν ἐνιαυτὸν εἶναι τῦτον.

Ὅτι Μέτων ὁ [1] Λάκων ἀστρολόγος ἀνέστησε στήλας, καὶ τὰς τῦ ἡλίε τροπὰς κατεγράψατο, καὶ τὸν μέγαν ἐνιαυτὸν, ὡς ἔλεγεν, εὗρεν, καὶ ἔφατο αὐτὸν, ὡς ἔλεγεν, ἐνὸς δέοντα εἴκοσιν ἐτῶν.

Κεφ.

1) Λευκονεύς.

Κεφ. ή.

Περὶ εὐεργεσίας.

Ἀριστοτέλης ὁ Κυρηναῖος ἔλεγε, μὴ δεῖν εὐεργεσίαν παρά τινος προσιέσθαι. ἢ γὰρ ἀποδιδόναι πειρώμενον, πράγματα ἂν ἔχειν· ἢ μὴ ἀποδιδόντα, ἀχάριστον φαίνεσθαι.

Κεφ. θ'.

Ὅτι λίχνος ὁ Φιλόξενος.

Φιλόξενος λίχνος ἦν, καὶ γαστρὸς ἥττων. λοπάδος ἓν ποτε ἐψομένης ἐν καπηλείῳ, τέως μὲν εὐφραίνετο, καὶ ἑαυτὸν εἰσία τῇ ὀσμῇ. ἐπεὶ δὲ αὐτῷ ἐπετείνετο ἡ ὄρεξις, καὶ ἡττᾶτο τῆς φύσεως, κακῆς δὲ ἔσης, ὦ θεοί, τηνικαῦτα ἐκ ἐνεγκὼν, προσέταξε τὸν παῖδα πρίασθαι τὴν λοπάδα. ἐπεὶ δὲ ἤφατο πωλεῖν αὐτὴν τὸν κάπηλον πολλῷ, ταύτῃ μᾶλλον ἡδίων ἔσαι, φησιν, εἰ πλείονος ὠνήσομαι. χρὴ δὲ καὶ τῶν τοιούτων μνημονεύειν, ἐκ εἰς ζῆλον αὐτῶν, ἀλλ' ὥστε φεύγειν αὐτά.

Κεφ. ί.

Περὶ τῶν παλαιῶν ζωγράφων.

Ὅτε ὑπῆρχετο ἡ γραφικὴ τέχνη, καὶ ἦν τρόπον τινὰ ἐν γάλαξι καὶ ἐν σπαργάνοις, ἔτως ἄρα ἀτέχνως ἐκαίζον τὰ ζῶα, ὥσε ἐπιγράφειν αὐτοῖς τὲς γραφέας, τῦτο βῦς, ἐκεῖνο ἵππος, τῦτο δένδρον.

Κεφ. ιά.

Περὶ Διογένες ἀλγῦντος τὸν ὦμον.

Ἤλγει τὸν ὦμον Διογένης, ἢ τρωθεὶς οἶμαι, ἢ ἐξ ἄλλης τινὸς αἰτίας. ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλγεῖν, τῶν τις ἀχθομένων αὐτῷ κατεκερτόμει, λέγων, τί ἦν ἐκ ἀποθνήσκεις, ὦ Διόγενες, καὶ σεαυτὸν ἀπαλλάττεις κακῶν; ὁ δὲ εἶπε· τὲς εἰδότας δεῖ πράττειν ἐν τῷ βίῳ, καὶ ἃ δεῖ λέγειν, τέτες γε ζῆν προσήκει, ὧν καὶ αὐτὸς ὁμολόγει εἶναι. σοὶ μὲν ἦν εἶφη ἐκ εἰδότι τά τε λεκτέα καὶ τὰ πρακτέα, ἀποθανεῖν ἐν καλῷ ἐστιν. ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων, πρέπει ζῆν.

Κεφ. ιβ'.

Ἀρχύτε ἀπόφθεγμα περὶ ἀνθρώπων.

Ἀρχύτας ἔλεγεν, ὥσπερ ἔργόν ἐσιν εὑρεῖν ἰχθὺν ἄκανθαν μὴ ἔχοντα, ἕτω καὶ ἄνθρωπον μὴ κεκτημένον τι δολερὸν καὶ ἀκανθῶδες.

Κεφ. ιγ'.

Ὅτι Ἀρχίλοχος ἑαυτῷ καταγόρει.

Αἰτιᾶται Κριτίας Ἀρχίλοχον, ὅτι κάκισα ἑαυτὸν εἶπεν. εἰ γὰρ μή, φησιν, ἐκεῖνος τοιαύτην δόξαν ὑπὲρ ἑαυτῦ εἰς τὰς Ἕλληνας ἐξήνεγκεν, ἐκ ἂν ἐπυθόμεθα ἡμεῖς, ἔτε ὅτι Ἐνιπῆς υἱὸς ἦν τῆς δάλης· ἔθ' ὅτι καταλιπὼν Πάρον διὰ πενίαν καὶ ἀπορίαν, ἦλθεν εἰς Θάσον· ἔθ' ὅτι ἐλθὼν, τοῖς ἐνταῦθα ἐχθρὸς ἐγένετο. ἐδὲ μὴν ὅτι ὁμοίως τὰς φίλας καὶ τὰς ἐχθρὰς κακῶς ἔλεγε. πρὸς δὲ τέτοις (ἢ δ' ὃς) ἔτε ὅτι μοιχὸς ἦν, ἤδειμεν ἄν, εἰ μὴ παρ' αὐτῦ μαθόντες, ἔτε ὅτι λάγνος καὶ ὑβριςὴς· καὶ τὸ ἔτι τέτων αἴσχιςον, ὅτι τὴν ἀσπίδα ἀπέβαλεν. ἐκ ἀγαθὸς ἄρα ἦν ὁ Ἀρχίλοχος μάρτυς ἑαυτῷ, τοιῦτον κλέος ἀπολιπὼν, καὶ

καὶ τοιαύτην ἑαυτῷ φήμην. ταῦτα ἐκ ἐγὼ Ἀρχίλοχον αἰτιῶμαι, ἀλλὰ Κριτίας.

Κεφ. ιδ'.

Περὶ ἀργίας.

Σωκράτης ἔλεγεν, ὅτι ἡ ἀργία ἀδελφὴ τῆς ἐλευθερίας ἐςὶ, καὶ μαρτύριον ἔλεγεν ἀνδρειοτάτες καὶ ἐλευθεριωτάτες Ἰνδὲς καὶ Πέρσας, ἀμφοτέρες δὲ πρὸς χρηματισμὸν ἀργοτάτες εἶναι· Φρύγας δὲ καὶ Λυδὲς ἐργασικωτέρες, δᾶλεύειν δέ.

Κεφ. ιε.

Περὶ τῶν μνησευσαμένων τὰς τῦ Ἀριςείδε καὶ τῦ Λυσάνδρε θυγατέρας.

Τὰς Ἀριςείδε θυγατέρας ἔτι αὐτῦ περιόντος ἐμνησεύοντο οἱ τῶν Ἑλλήνων δοκῦντες διαφέρειν. ἔβλεπον δὲ ἄρα ἐκ εἰς τὸν βίον Ἀριςείδε, ἐδὲ ἐθαύμαζον αὐτῦ τὴν δικαιοσύνην. ἐπεὶ τέτων γε εἰ ἦσαν ζηλωταὶ, κἂν μετὰ ταῦτα ἐπέμειναν τῇ μνησείᾳ. νῦν δὲ ὁ μὲν ἀπέθανεν, οἱ δὲ ἐδὲν ἡγήσαντο εἶναι πρᾶγμα κοινὸν πρὸς τὰς κόρας. ἀποθανὼν γὰρ ἐγνώθη ὁ παῖς Λυσιμάχε ὅτι πένης ἦν. ὅπερ καὶ ἀνέσειλεν ἐκείνες

ἐκείνης τὸς κακοδαίμονας ἐνδόξε τε ἅμα καὶ σεμνοτάτε γάμε, παρ' ἐμοὶ κριτῇ. παραπλήσιον δὲ καὶ ἐπὶ Λυσάνδρε· μαθόντες γὰρ αὐτὸν εἶναι καὶ πένητα, τὸν γάμον ἀπέδρασαν.

Κεφ. ιε'.

Περὶ Ἀντισθένες καὶ Διογένες.

Ἐπεὶ ὁ Ἀντισθένης πολλὰς πρὸτρεπεν ἐπὶ Φιλοσοφίαν· οἱ δὲ, ἀδεὶς αὐτῷ προσεῖχον, τέλος ἀγανακτήσας, ἐδέησε προσίετο. καὶ Διογένην ἔν ἤλαυνεν ἀπὸ τῆς συνεσίας αὐτῦ. ἐπεὶ δὲ ἦν λιπαρέσερος ὁ Διογένης, καὶ ἐνέκειτο, ἐνταῦθα ἤδη καὶ τῇ βακτηρίᾳ καθίξεσθαι αὐτῦ ἠπείλει. καί ποτε καὶ ἔπαισε κατὰ τῆς κεφαλῆς. ὁ δὲ ὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι μᾶλλον ἐνέκειτο φιλοπόνως, ἀκέειν αὐτῦ δι' ψῶν. καὶ ἔλεγε, σὺ μὲν πᾶιε, εἰ βέλει, ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλὴν, καὶ ὐκ ἂν ἔτως ἐξεύροις βακτηρίαν σκληρὰν, ὥσε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν. ὁ δὲ ὑπερηπάσατο αὐτόν.

Κεφ.

Κεφ. ις'.

Περὶ τῶν πλετησάντων ἐκ τῶν κοινῶν.

Λέγε Κρίτιας, Θεμισοκλέα τὸν Νεοκλέες, πρινὴ ἄρξαθαι πολιτεύεθαι, τρία τάλαντα ἔχειν τὴν ὐσίαν τὴν πατρῴαν· ἐπεὶ δὲ τῶν κοινῶν προέση, εἶτα ἔφυγε, καὶ ἐδημεύθη αὐτῦ ἡ ὐσία, κατεφωράθη ἑκατὸν ταλάντων πλείω ὐσίαν ἔχων. ὁμοίως δὲ καὶ Κλέωνα πρὸ τῦ παρελθεῖν ἐπὶ τὰ κοινὰ, μηδὲν τῶν οἰκείων ἐλεύθερον εἶναι· μετὰ δὲ πεντήκοντα ταλάντων τὸν οἶκον ἀπέλιπε.

Κεφ. ιή.

Περὶ Συρακοσίε Δάφνιδος, καὶ βυκολικῶν μελῶν.

Δάφνιν τὸν βυκόλον λέγουσιν οἱ μὲν ἐρώμενον Ἑρμῦ, ἄλλοι δὲ υἱόν. τὸ δὲ ὄνομα ἐκ τῦ συμβάντος χεῖν. γενέθαι μὲν αὐτὸν ἐκ νύμφης· τεχθέντα δὲ ἐκτεθῆναι ἐν δάφνῃ. τὰς δ' ὑπ' αὐτῦ βυκολεμένας βῦς Φασιν ἀδελφὰς γεγονέναι τῶν Ἡλίε, ὧν Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται. βυκολῶν δὲ κατὰ τὴν Σικελίαν ὁ Δάφνις, ἠράθη αὐτῦ

αὐτῷ νύμφη μία, καὶ ὡμίλησε καλῷ ὄντι, καὶ νέῳ, καὶ πρώτῳ ὑπηνήτῃ, ἔνθα τῷ 1) χρωτὸς ἡ χαριεστάτη ἐσὶν ἥβη τῶν καλῶν μειρακίων, ὥς πέ φησι καὶ Ὅμηρος. συνθήκας δὲ ἐποιήσαντο, μηδεμιᾷ ἄλλῃ πλησιάσαι αὐτὸν, καὶ ἐπηπείλησεν, ὅτι πεπρωμένον ἐσὶν, αὐτὸν τεφηθῆναι τῆς ὄψεως, ἐὰν παραβῇ. καὶ εἶχον ὑπὲρ τούτων ῥήτραν πρὸς ἀλλήλας. χρόνῳ δὲ ὕστερον, Βασιλέως θυγατρὸς ἐραθείσης αὐτῷ, οἰνωθεὶς ἔλυσε τὴν ὁμολογίαν, καὶ ἐπλησίασε τῇ κόρῃ. ἐκ δὲ τούτου τὰ βουκολικὰ μέλη πρῶτον ᾄδη, καὶ εἶχεν ὑπόθεσιν τὸ πάθος, τὸ κατὰ τὰς ὀφθαλμὰς αὐτῷ. καὶ Στησίχορόν γε τὸν Ἱμεραῖον τῆς τοιαύτης μελοποιΐας ἀπάρξαθαι.

Κεφ. ιθ'.

Περὶ τοῦ καταπιόντος τὰς ἰδίας ὀδόντας.

Εὐρυδάμας ὁ Κυρηναῖος πυγμῇ ἐνίκησεν, ἐκκρουσθεὶς μὲν ὑπὸ τοῦ ἀνταγωνιστοῦ τὰς ὀδόντας, καταπιὼν δὲ αὐτὰς, ἵνα μὴ φανῇ ὁ ἀντίπαλος.

Κεφ.

1) χρόνε.

Κεφ. κ'.

Περὶ Ἀγησιλάου.

Ὅτι ὁ Πέρσης ἐπέστειλε πρὸς Ἀγησίλαον, φίλον αὐτὸν ἔχειν. ἀνταπέστειλε δὲ Ἀγησίλαος, ὅτι ὁ δυνατὸν φίλον αὐτὸν Ἀγησιλάου ἰδίᾳ εἶναι. εἰ δὲ εἴη Λακεδαιμονίοις κοινῇ φίλος, δῆλον ὅτι καὶ αὐτῷ ἔσαι, ἐφ' ἅπασι γὰρ καὶ ἐκεῖνον [ἂν] ἀριθμεῖσθαι.

Κεφ. κά.

Περὶ Πλάτωνος.

Ὅτι τὸν Πλάτωνα ἡ Περικτιόνη ἔφερεν ἐν ταῖς ἀγκάλαις. θύοντι δὲ τῷ Ἀρίστωνι ἐν Ὑμηττῷ ταῖς Μούσαις, ἢ ταῖς Νύμφαις, οἱ μὲν πρὸς τὴν ἱερουργίαν ἦσαν, ἡ δὲ κατέκλινε Πλάτωνα ἐν ταῖς πλησίον μυρρίναις, δασείαις οὔσαις καὶ πυκναῖς. καθεύδοντι δὲ ἐσμὸς μελισσῶν Ὑμηττίδων μέλιτος ἐν τοῖς χείλεσιν αὐτοῦ καθίσασαι ὑπῆδον, τὴν τοῦ Πλάτωνος εὐγλωττίαν μαντευόμεναι ἐντεῦθεν.

Κεφ.

Κεφ. κβ'.

Περὶ Διωξίππου.

Ὅτι Διώξιππος, παρόντος Ἀλεξάνδρου, καὶ Μακεδόνων, ῥόπαλον λαβών, Κέρδαγον τὸν Μακεδόνα ὁπλίτην μονομαχήσας, καὶ ἐκκρέσας αὐτῷ τὸ ξυσὸν, καὶ ἁρπάσας τὸν ἄνδρα σὺν τῇ πανοπλίᾳ, ἐπιβὰς ἐπὶ τὸν αὐχένα αὐτῷ κειμένῳ, τὴν μάχαιραν ἣν ὑπέζωσο ὑφαρπάσας, ἀπέκτεινε τὸν ὁπλίτην. ἐμισήθη δὲ ὑπὸ Ἀλεξάνδρου. ὁ δὲ ἀπογνοὺς ὡς μισηθεὶς ὑπὸ Ἀλεξάνδρου, καὶ ἀθυμήσας ἀπέθανε.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

Κεφάλαιον ά.

Περὶ Ὁρικάδμου, καὶ τοῦ παλαίειν.

Ὅτι Ὁρίκαδμος πάλης ἐγένετο νομοθέτης, καθ' ἑαυτὸν ἐπινοήσας τὸν Σικελὸν τρόπον καλούμενον 1) παλαίειν. Κεφ.

1) (τὸ π.)

Κεφ. β'.

Περὶ Ὀροιβαντίδος ἐπῶν, καὶ Δάρητος, καὶ Μελισάνδρου.

Ὅτι ἦν Ὀροιβαντὶς Τροιζηνὶς ἔπη πρὸ Ὁμήρου, ὡς φασιν οἱ Τροιζήνιοι λόγοι. καὶ τὸν Φρύγα δὲ Δάρητα, ἃ Φρυγίαν Ἰλιάδα ἔτι καὶ νῦν ἀποσωζομένην οἶδα, πρὸ Ὁμήρου καὶ τοῦτον γενέσθαι λέγουσι. Μελίσανδρος ὁ Μιλήσιος Λαπιθῶν καὶ Κενταύρων μάχην ἔγραψεν.

Κεφ. γ'.

Περὶ Ἰκχοῦ, καὶ πάλης.

Ὅτι 1) Ἰκχὸς ὁ Ταραντῖνος πάλης ὑπῆρξατο, σωφρονέστερον τὸν τῆς ἀθλήσεως χρόνον διαζήσας, καὶ κεκολασμένῃ τροφῇ διαβιώσας, καὶ ἀφροδίτης ἀμαθὴς διατελέσας.

Κεφ. δ'.

Περὶ Ἀγαθοκλέους φαλαρώματος.

Ἀγαθοκλέα φασὶ τὸν Σικελίας τύραννον γελοιότατα τὴν κεφαλὴν ἀχημονεῖν. ψιλωμένης γὰρ αὐτῆς, κατὰ μικρὰ ὑποῤῥεσσῶν 2) αὐτῶν τῶν τριχῶν, ὅθεν αἰδούμενος προκάλυμμα κόμης ἐποιήσατο τὸν μυῤῥίνης στέφανον, καὶ ἦν πρόβλημα

Κ τῆς

1) Ἰκκὸς. 2) αὐτῷ τ. τ.

τῆς ψιλώσεως. ἤδεσαν μέν τοι τὸ Φαλάκρωμα Συρακέσιοι, καὶ τὴν ἐς αὐτὸν τῶν τριχῶν 1) ἐπιβολὴν ἐκ ἠγνόουν. ἐσιώπων δὲ διὰ τὸ τῶν τολμημάτων αὐτὸ καὶ ἀσεβημάτων ἐμμανές.

Κεφ. ε'.

Περὶ τινων ἀοίκως Θεοσυλίας καταχριθέντων.

Ἔθυόν τινες ἐν Δελφοῖς. τούτοις ἐπιβουλεύοντες Δελφοὶ εἰς τὰ καυᾶ, ἔνθα ἦν αὐτοῖς ὅ, τε λιβανωτὸς, καὶ τὰ πόπανα, ἐνέβαλον τῶν ἱερῶν χρημάτων λάθρα. λαβόντες δ' ἂν αὐτὸς ὡς θεοσύλας ἀπήγαγον ἐπὶ τὴν πέτραν, καὶ κατεκρήμνισαν κατὰ τὸν Δελφικὸν νόμον.

Κεφ. ς'.

Περὶ μοιχᾶ.

Συνέβη τινὰ μοιχὸν ἁλῶναι ἐν Θεσπιεῦσι, εἶτα ἤγετο διὰ τῆς ἀγορᾶς δεδεμένος. ἀφείλοντο δ' ἂν αὐτὸν οἱ ἑταῖροι. ἐξήφθη δ' ἂν στάσις, καὶ συνέπεσε γενέσθαι φόνος πολλός.

Κεφ. ζ'.

Περὶ Λυσάνδρε καὶ Ἀλκιβιάδε.

Ἔλεγεν Ἐτεοκλῆς ὁ Λάκων, δύο Λυσάνδρες τὴν Σπάρτην μὴ ἂν ὑπομεῖναι. καὶ

1) ἐπιβελήν.

καὶ Ἀρχέστρατος ὁ Ἀθηναῖος ἔλεγε δύο Ἀλκιβιάδας τὴν τῶν Ἀθηναίων. ἔτως ἄρα αὐτῶν καὶ οἱ ἕτεροι ἦσαν ἀφόρητοι.

Κεφ. η'.

Περὶ Ἱππάρχε τελευτῆς.

Ἵππαρχος ἀνῃρέθη ὑπὸ Ἁρμοδίε καὶ Ἀριστογείτονος. ὅτι ἐν τοῖς Παναθηναϊκοῖς κομίσαι καιᾶν τῇ θεῷ κατὰ τὸν νόμον τὴν ἐπιχώριον, ἣν εἴασε τὴν ἀδελφὴν τὴν Ἁρμοδίε, καὶ ἴσως ἀξίαν ἦσαν.

Κεφ. θ'.

Περὶ τινων ἀρίστων πενήτων, καὶ δῶρα μὴ προσηκαμένων.

Οἱ τῶν Ἑλλήνων ἄριστοι πενίᾳ διέζων παρὰ πάντα τὸν βίον· ἐπαινέτωσαν δ' ἂν πλεῖστόν τινες ἔτι, μετὰ τὸς τῶν Ἑλλήνων ἀρίστες, οἷς ἡ πενία παρὰ πάντα τὸν βίον συνεκληρώθη. εἰσὶ δὲ ἕτοι, οἷον Ἀριστείδης ὁ Λυσιμάχε, ἀνὴρ πολλὰ μὲν ἐν πολέμῳ κατορθώσας, καὶ τὰς φόρες δὲ τοῖς Ἕλλησι τάξας. ἀλλ' ἕτός γε ὁ τοιοῦτος ἔτε ἐντάφια ἑαυτῷ κατέλιπεν ἱκανά· καὶ Φωκίων δὲ πένης ἦν, Ἀλεξάνδρε δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατὸν, ἠρώτα, διὰ τίνα αἰτίαν μοι δίδωσιν; ὡς δ' εἶπον, ὅτι μόνον αὐτὸν ἡγεῖται Ἀθηναίων καλὸν καὶ

ἀγαθόν· ἐκεῖνο, ἔφη, ἐασάτω με τοιοῦτον εἶναι.

Καὶ Ἐπαμινώνδας δὲ ὁ Πολύμνιδος πένης ἦν. Ἰάσονος δὲ αὐτῷ πέμψαντος πεντήκοντα 1) χρυσία, ὅδε, ἀδίκων, ἔφη, ἄρχειν χειρῶν. δανεισάμενος δὲ παρά τινος τῶν πολιτῶν πεντήκοντα δραχμὰς ἐφόδιον, εἰς Πελοπόννησον ἐνέβαλε. πυθόμενος δὲ τὸν ὑπασπιστὴν αὐτῷ χρήματα εἰληφέναι παρά τινος τῶν αἰχμαλώτων, ἐμοὶ μέν, εἶπεν, ἀπόδος τὴν ἀσπίδα· σεαυτῷ δὲ πρίω καπηλεῖον, ἐν ᾧ καταζήσεις. ἐγὼ γὰρ ἔτι κινδυνεύειν ἐθελήσεις, πλέσιος γενόμενος.

Πελοπίδας δὲ ἐπιτιμώντων αὐτῷ τῶν φίλων, ὅτι χρημάτων ἀμελεῖ, πράγματος εἰς τὸν βίον λυσιτελοῦς, Νὴ τὸν Δία, εἶπε, λυσιτελὲς, ἀλλὰ Νικομήδει τούτῳ, δείξας χωλόν τινα καὶ ἀνάπηρον.

Ὅτι 2) Σκιπίων τέσσαρα καὶ πεντήκοντα ἔτη βιώσας, οὐδὲν ἔτε ἐπρίατο, ἔτε ἀπέδοτο· ἔτως ἄρα ὀλίγων ἐδεῖτο. ἀσπίδα δὲ αὐτῷ τινος ἐπιδείξαντος εὖ κεκοσμημένην, εἶπεν· ἀλλὰ τόν γε Ῥωμαῖον ἄνδρα προσήκει ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἀλλ' οὐκ ἐν τῇ ἀριστερᾷ.

Ὅτι Ἐφιάλτης ὁ Σοφωνίδε πενέστατος ἦν· δέκα δὲ τάλαντα διδόντων αὐτῷ τῶν ἑταίρων, ὅδε ἀ προσήκατο, εἰπών· ταῦτά με ἀναγκάσει αἰδέμενον ὑμᾶς, καταχαρίσασθαί τι τῶν δικαίων· μὴ αἰδέμενον δὲ, μηδὲ χαριζόμενον ὑμῖν, ἀχάριστον δόξαι.

1) χρυσᾶς. 2) Σκιπίων.

Κεφ. ι'.

Περὶ Ζωίλε.

Ζωΐλος ὁ Ἀμφιπολίτης, ὁ καὶ εἰς Ὅμηρον γράψας, καὶ εἰς Πλάτωνα, καὶ εἰς ἄλλες, Πολυκράτες μὲν ἀκεραὶς ἐγένετο. ἔτος δὲ ὁ Πολυκράτης καὶ τὴν κατηγορίαν ἔγραψε τὴν κατὰ Σωκράτες· ἐκαλεῖτο δὲ Ζωΐλος ἔτος, κίων ῥητορικός. ἦν δὲ τοιοῦτος· τὸ μὲν γένειον αὐτῷ καθεῖτο, κέκαρτο δὲ ἐν χρῷ τὴν κεφαλήν, καὶ θαυμάτιον ὑπὲρ τὸ γόνυ ἦν. ἦρα δὲ ἀγοραίων κακῶς, καὶ ἀπεχθάνεθαι πολλοῖς χολὴν εἶχε, καὶ ψογερὸς ἦν ὁ κακοδαίμων. ἤρετο δέ τις αὐτὸν τῶν πεπαιδευμένων, διὰ τί κακῶς λέγει πάντας. ὁ δὲ, ποιῆσαι γὰρ καλῶς βελόμενος ἀ δύναμαι.

Κεφ. ια'.

Περὶ Διονυσίε τοῦ Σικελοῦ.

Ὅτι Διονύσιος ὁ Σικελὸς περὶ τὴν ἰατρικὴν 1) ἔσπευδε, καὶ αὐτὸς ἰᾶτο, καὶ ἔτεμνε, καὶ ἔκαε, καὶ τὰ λοιπά.

1) ἔσπευδε καὶ αὐτὸς, καὶ ἰᾶτο.

Κεφ. ιβ'.

Περὶ πλακοῦντος Σωκράτει ὑπὸ τοῦ Ἀλκιβιάδου πεμφθέντος.

Πλακοῦντα ὁ Ἀλκιβιάδης μέγαν, καὶ ἐσκευασμένον κάλλιστα διέπεμψε Σωκράτει. ὡς δὲ ὑπὸ ἐρωμένης ἐραστῇ πεμφθὲν τὸ δῶρον ἐκκαυστικὸν [τὸν] πλακοῦντα, διαγανακτήσασα κατὰ τὸν αὐτῆς τρόπον, ἡ Ξανθίππη ῥίψασα ἐκ τοῦ κανοῦ κατεπάτησε. γελάσας δὲ ὁ Σωκράτης, ἀκοῦε, ἔφη, ἀδὲ σὺ μεθέξεις αὐτοῦ. εἰ δέ τις οἴεται περὶ μικρῶν με λέγειν, λέγοντα ταῦτα, ἐκ οἶδεν, ὅτι καὶ ἐκ τούτων ὁ σπεδαῖος δοκιμάζεται ὑπερφρονῶν αὐτῶν, ἅπερ ἂν οἱ πολλοὶ λέγωσιν εἶναι κόσμον τραπέζης, καὶ δαιτὸς ἀναθήματα.

Κεφ. ιγ'.

Περὶ τοῦ ἐν Σικελίᾳ ὀξυδερκοῦς ἀνδρός.

Ἀνδρά φασι Σικελιώτην οἷον βλέπειν ὀξὺν γενέσθαι ἐν Σικελίᾳ, ὥς τε αὐτὸν ἐκ τοῦ Λιλυβαίου εἰς Καρχηδόνα τείναντα τὸν ὀφθαλμὸν, μηδένας ὄψεις σφάλλεσθαι, καὶ ἀποδείξειν λέγεσι τὸν ἀριθμὸν τῶν νεῶν τῶν ἀναγομένων ἐκ Καρχηδόνος, καὶ ἐκ ἐψεύσατο ἐδεμίαν.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

Κεφάλαιον ά.

Περὶ Ἀσπασίας.

Ἀσπασία ἡ Ἑρμοτίμου θυγάτηρ, ἢ Φωκαΐς, ἐτράφη μὲν ἐν ὀρφανίᾳ τῆς μητρὸς αὐτῆς ἀποθανούσης ἐν ὠδῖσιν. ἐκ δὴ τούτων ἐν πενίᾳ μὲν ἐτράφη ἡ Ἀσπασία, σωφρόνως μέντοι, καὶ κατιέρως. ὄνειρος δὲ αὐτῇ συνεχῶς ἐπεφοίτα, καὶ ἐμαντεύετο αὐτῇ χρηστὸν, τὴν μέλλουσαν αὐτῇ τύχην ὑπαινιττόμενος, ὅτι καλῷ καὶ ἀγαθῷ συνέσται ἀνδρί. παῖς δ' ἔτι οὖσα, γίνεται αὐτῇ κατὰ τοῦ προσώπου φῦμα ὑπ' αὐτὸ τὸ γένειον. καὶ ἦν ἰδεῖν μοχθηρὸν καὶ ἐλύπει τόν τε πατέρα, καὶ τὴν παῖδα.

Δείκνυσι γὰρ αὐτὴν ὁ πατὴρ ἰατρῷ. ὁ δὲ ὑπέσχετο ἰάσασθαι, εἰ λάβοι τρεῖς σατῆρας. ὁ δὲ ἔφατο μὴ ἔχειν· ὁ δὲ ἰατρὸς μηδὲ αὐτὸς εὐπορεῖν φαρμάκου φησίν. καὶ ἠνιᾶτο,

ὥσπερ εἰκὸς, ἐπὶ τούτοις ἡ Ἀσπασία, καὶ ἀπελθοῦσα ἔξω ἔκλαεν· ἔχουσα ἐν τοῖς γόνασι κάτοπτρον, καὶ ὁρῶσα ἑαυτὴν ἐν αὐτῷ, σφόδρα ἤλγει. ἀδείπνῳ δὲ ἔσῃ ὑπὸ τῆς ἀνίας ἀφίκετό οἱ εὖ μάλα εὔκαιρος ὕπνος, καὶ ἅμα τῷ ὕπνῳ ἡ περισερὰ παρῆγίνεται. καὶ γενομένη γυνὴ, θάρρει, εἶπε, καὶ μακρὰ χαίρειν εἰποῦσα ἰατροῖς τε αὐτοῖς, καὶ φαρμάκοις, σὺ δὲ τῶν τῆς Ἀφροδίτης σεφάνων τῶν ῥοδίνων, ὅσοι ἀπ ὥσιν ἤδη αὗοι, τρίβουσα, ἐπίπασσε τῷ Φύματι. ταῦτα ἀκέσασα ἡ παῖς, καὶ δράσασα, τὸ Φῦμα ἠφανίσθη. καὶ ἡ Ἀσπασία καλλίστη τῶν συμπαρθένων ἦν αὖθις, παρὰ τῆς καλλίστης τῶν θεῶν τὴν ὥραν ἀπολαβοῦσα· καὶ χαρίτων μὲν ἀφθονίαν εἶχεν, ὡς ἐκ ἄλλη παρθένος τῶν τότε. ἦν δὲ καὶ τὴν κόμην ξανθὴ, καὶ ἄλλη τὰς τρίχας ἠρέμα. ὀφθαλμοὺς δὲ εἶχε μεγίστους, ὀλίγον δὲ ἦν καὶ ἐπίγρυπος, τὰ δὲ ὦτα εἶχε βραχύτερα. ἦν δὲ αὐτῇ καὶ δέρμα ἁπαλόν. ἐῴκει δὲ ἡ χροιὰ ἡ κατὰ τὸ πρόσωπον ῥόδοις. διὰ ταῦτά τοι οἱ Φωκαεῖς, ἔτι παιδίον ὂσαν, ἐκάλεσαν Μιλτώ. ὑπέφαινε δὲ καὶ τὰ χείλη ἐρυθρὰ, καὶ οἱ ὀδόντες λευκότεροι χιόνος ἦσαν. ἦν δὲ καὶ τὰ σφυρὰ ἀγαθὴ, καὶ οἷα

Ὅμη-

Ὅμηρος λέγει τὰς ὡραιοτάτας γυναῖκας κατὰ τὴν ἑαυτῆ φωνὴν καλλισφύρους ὀνομάζων. φάνημα δὲ εἶχεν ἡδὺ καὶ ἀπαλόν· εἶπεν ἄν τις, λαλέσης αὐτῆς, ἀκέαν Σειρῆνος. πολυπραγμοσύνης δ' ἀπάτης γυναικείας, καὶ περιεργίας ἀπῆλακτο. ὁ μὲν γὰρ πλοῦτος φιλεῖ χορηγεῖν καὶ τὰ τοιαῦτα. πενομένη δὲ ἐκείνη καὶ τρεφομένη ὑπὸ πατρὶ, καὶ αὐτῷ πένητι, περίεργον μὲν ἐδὲν, ἐδὲ περιττὸν εἰς τὸ εἶδος ἠρανίζεν. ἀφίκετο δέ ποτε παρὰ Κῦρον τὸν Δαρείᾳ καὶ Παρυσάτιδος ἡ Ἀσπασία, τὸν ἀδελφὸν Ἀρταξέρξῃ, ἐχ ἑκοῦσα, ἐδὲ ἑκόντος αὐτὴν τοῦ πατρὸς ἀποπέμψαντος, ἀλλὰ γὰρ πρὸς βίαν, 1) οἵαι πολλάκις ἀπήντησαν, ἢ πόλεων ἁλουσῶν, ἢ τυράννων βιασαμένων, ἢ σατραπῶν πολλάκις. εἷς ἦν τῶν Κύρου σατραπῶν μετὰ καὶ ἄλλων παρθένων ἀνήγαγεν αὐτὴν πρὸς Κῦρον· καὶ τάχιστα τῶν ἄλλων παλλακίδων προετιμήθη, διά τε ἦθος 2) ἀφελὲς, καὶ τὸ τρόπου τὸ εὐήμον, καὶ ὅτι ἀπεριέργως καλὴ ἦν. συνεμάχετο δὲ πρὸς τὸ ὑπερφιλεῖσθαι, καὶ ὅτι σύνεσιν εἶχε. πολλάκις γοῦν καὶ ὑπὲρ τῶν ἐπαγόντων ἐχρήσατο αὐτῇ συμβούλῳ Κῦρος, καὶ πειθοῦς ἐ μετέγνω. ὡς δὲ ἦλθε τὸ πρῶτον

1) οἷα. 2) ἀφέλειαν.

πρὸς Κῦρον ἡ Ἀσπασία, ἔτυχε μὲν ἀπὸ δείπνου ὤν, καὶ πίνειν ἔμελλε κατὰ τὸν τρόπον τὸν Περσικόν. μετὰ γὰρ τὸ ἐμπλησθῆναι τροφῆς οἱ Πέρσαι τῷ τε οἴνῳ καὶ ταῖς προπόσεσιν εὖ μάλα ἀποχολάζουσιν, οἱονεὶ πρὸς τὸν πότον ὡς πρὸς ἀντίπαλον ἀποδυόμενοι. μεσοῦντος δὲ τοῦ πότου, τέσσαρες παρθένοι παράγονται τῷ Κύρῳ Ἑλληνικαί, ἐν δὲ ταῖς καὶ ἡ Φωκαὶς Ἀσπασία ἦν. ἦσαν δὲ κάλλισα διεσκευασμέναι. αἱ μὲν γὰρ τρεῖς ὑπὸ τῶν οἰκείων γυναικῶν, αἳ ἔτυχον αὐταῖς συναπελθοῦσαι, διαπεπλεγμέναι τε ἦσαν τὰς κόμας, καὶ διαπεποικιλμέναι τὰ πρόσωπα ἐντρίψεσι καὶ φαρμάκοις. ἦσαν δὲ καὶ ὑπὸ τῶν τροφέων δεδιδαγμέναι, ὅπως τε ὑποδραμεῖν χρὴ τὸν Κῦρον, καὶ τίνα τρόπον θωπεῦσαι, καὶ προσιόντα μὴ ἀποσφαλῆναι, καὶ ἁπτομένου μὴ δυσχεράναι, καὶ φιλοῦντας ὑπομεῖναι, ἑταιρικὰ 1) δὲ μάλα μαθήματα καὶ διδάγματα, γυναικῶν καπηλικῶς τῷ κάλλει χρωμένων ἔργα. ἔσπευδον δὲ ἄλλη ἄλλην ὑπερβαλέσθαι τῷ κάλλει. ἡ δὲ Ἀσπασία, ἅτε ἐνδύναι πολυτελῆ χιτῶνα ἐβέλετο, ἅτε περίβλημα περιβαλέσθαι ποικίλον ἠξίει, ἅτε λέσασθαι ὑπέμενεν· ἀνευφημήσασα δὲ θεὸς

θεὸς πάντας ἐκάλει 1) Ἑλληνικὸς, καὶ Ἐλευθερίας τὰς αὐτὸς, καὶ τὸ τοῦ πατρὸς ὄνομα ἐβόα, καὶ κατηρᾶτο ἑαυτῇ καὶ τῷ πατρὶ, δηλείαν σαφῆ καὶ ὡμολογημένην ὑπομένειν πιστεύσασα, τὴν ἔξω τῆς συνηθείας περὶ τὸ σῶμα σολήν τε ἅμα, καὶ περίεργον κατασκευήν. ῥαπισθεῖσα δὲ πρὸς ἀνάγκην ἐνέδυ, καὶ εἶπε τοῖς ἐπιβάγμασιν, ἀλγοῦσα ὅμως, 2) ὡς παρθενικὰ, ἀλλ' ἑταιρικὰ πράττειν ἐβιάζετο. αἱ μὲν ἓν ἄλλῃ παρελθοῦσαι ἀντέβλεπον τῷ Κύρῳ, καὶ ὑπεμειδίων, καὶ φαιδρότητα προσεποιοῦντο. ἡ γε μὴν Ἀσπασία ἑώρα κάτω, καὶ ἐρυθημάτων εὖ μάλα φλογωδῶν ἐνεπίμπλατο αὐτῆς τὸ πρόσωπον, καὶ ἐπεπλήροντο οἱ ὀφθαλμοὶ δακρύων, καὶ ἓν παντὸς αἰδημένη τὸ τρόπος δῆλη ἦν. ἐπεὶ δὲ ἐκέλευσε πλησίον αὐτοῦ τὰς ἀνθρώπους καθίσαι, αἱ μὲν ἐπείθησαν καὶ πάνυ εὐκόλως. ἡ δὲ Φωκαὶς τῷ προστάγματι οὐδὲ προσεῖχεν, ἕως αὐτὴν ὁ ἀπάγων Σατράπης πρὸς βίαν ἐκάθισεν. ἁπτομένου δὲ τοῦ Κύρου, καὶ διασκοποῦντος τὰς ὀφθαλμοὺς αὐταῖς, καὶ τὰς παρειὰς, καὶ τοὺς δακτύλους, αἱ μὲν ἠνείχοντο, ἡ δὲ οὐχ ὑπέμενεν. ἅπτεται γὰρ τῇ χειρὶ μόνον τοῦ Κύρου προσαψαμένου, ἐξεβόησέ τε καὶ ἔφλο

1) Ἑλληνίδας. 2) (ὡς vel ὅτι suppl.)

αὐτὸν αἰμώξεσθαι τοιαῦτα δρῶντα. ὑπερήθη τέτοις ὁ Κῦρος· ἐπανισαμένης τε αὐτῆς καὶ πειρωμένης φεύγειν, ἐπεὶ καὶ τῶν μαζῶν προσήψατο, ἀλλ' ἐνταῦθα μὲν ὑπερηγάσθη τὴν εὐγένειαν ὁ Περσικῶς τῷ Δαρείῳ, ἀλλὰ καὶ ἀποβλέψας πρὸς τὸν ἀγοραστήν, Ταύτην μόνην, ἔφη, ἐλευθέραν, καὶ ἀδιάφθορον ἤγαγες. αἱ δὲ λοιπαὶ καπηλικῶς ἔχεσι, καὶ τῷ εἴδει, ἔτι καὶ τῷ τρόπῳ μᾶλλον. ἐκ δὴ τέτων ὁ Κῦρος πλέον ταύτην ἠγάπησεν, εἴς ὡμίλησέ ποτε ἀνθρώποις. χρόνῳ δ' ὕστερον ὑπερηράσθη μὲν ταύτης ὁ Κῦρος, ἀντηράτο δὲ καὶ ὑπ' ἐκείνης. καὶ ἐς τοσῦτον ἀμφοῖν ἡ φιλία προῆλθεν, ὡς ἐγγυς ἰσοτιμίας εἶναι, καὶ μὴ ἀπάδειν Ἑλληνικῷ γάμῳ ὁμονοίας τε καὶ σωφροσύνης. ἀφίκετο ἐν τῷ εἰς Ἀσπασίαν ἔρωτος, καὶ εἰς Ἰωνίαν τὸ κλέος, καὶ εἰς τὴν Ἑλλάδα πᾶσαν. πεπλήρωτο δὲ καὶ ἡ Πελοπόννησος τῶν ὑπὲρ Κύρε τε καὶ ἐκείνης λόγων. ἀλλὰ καὶ εἰς βασιλέα τὸν μέγαν ἦκεν ἡ δόξα. πεπίστευτο γὰρ δή, ὅτι γυναικὸς ἄλλης μετ' αὐτὴν ἐκ ἠξίωσε πειρασθῆναι Κῦρος. ἐκ δὴ τέτων εἰσήει τὴν Ἀσπασίαν μνήμη τῶν ἀρχαίων φασμάτων, περισεράς τε ἐκείνης, καὶ τῶν ἐξ αὐτῆς λόγων, καὶ

καὶ ὅτα προεῖπεν ἡ θεὸς, καὶ ἐπίστευεν αὐτὴν ἐξ ἀρχῆς μελεδωνὸν αὐτῆς γεγονέναι, καὶ ἔθυε τῇ Ἀφροδίτῃ τελεστήρια καὶ χαριστήρια. πρῶτον μὲν ἓν εἴδωλον χρυσῦν ἀρχέντως μεγέθες ἔχον, αὐτῇ κατεσκεύασεν. ἐνενοεῖτο δὲ τὸ ἄγαλμα τῆτο Ἀφροδίτης εἶναι, καὶ πελεκάδα αὐτῇ παρέστησε λιθοκόλλητον. καὶ ἀεὶ ἀπὸ πᾶσαν ἡμέραν θυσίας τε ἱλεῖτο, καὶ εὐφημίας· ἀπέπεμψε δὲ καὶ Ἑρμοτίμῳ τῷ πατρὶ δῶρα πολλὰ καὶ καλὰ, καὶ πλέσιον αὐτὸν ὑπέφηνε. σωφροσύνη τε διέζη, ὡς αἱ Ἑλληνίδες γυναῖκες λέγεσι, καὶ αἱ Περσίδες. ὅρμος ἐκομίσθη ποτὲ Κύρῳ ἐκ Θετταλίας, πέμψαντος τὸν ὅρμον Σκοπᾶ τῆ νεωτέρᾳ. τῷ δὲ Σκοπᾷ κεκόμιστο ἐκ Σικελίας τὸ δῶρον. ἐδόκει δὲ ὁ ὅρμος θαυμαστῇ τινι τέχνῃ καὶ ποικιλίᾳ ἐξεργάσθαι. πάντων ἓν, οἷς ἐδείξεν αὐτὸν ὁ Κῦρος, θαυμαζόντων, ὑπερηθεὶς τῷ κειμηλίῳ, παραχρῆμα εἰς Ἀσπασίαν ἀφίκετο μεσάσης ἡμέρας, καὶ καλαλαβὼν αὐτὴν καθεύδεσαν, ὑποδὺς ὑπὸ ἱματίον, καὶ παρακλιθεὶς ἠρέμα, ἀψοφητὶ ἔμενεν αὐτὸς μὲν ἀτρεμῶν. ἐκείνη δὲ ἐκάθευδεν. ἐπεὶ δὲ διϋπνίσθη, καὶ ἐθεάσατο τὸν Κῦρον, περιπλακεῖσα αὐτῷ κατὰ τὸν συνήθη

τρόπον ἐφιλοφρονεῖτο αὐτόν. ὁ δὲ, ἐξελὼν ἐκ τῆ κιβωτίε τὸν ὅρμον, ἔδειξεν, ἐπειπών· ὅτι ἄξιός ἐσιν ἔτος ἢ θυγατρὸς βασιλέως, ἢ μητρός· τῆς δὲ ὁμολογέσης, ἰδὲ, δίδωμί σοι τοίνυν (φησὶν) αὐτὸν ἔχειν κτῆμα, καί μοι, ὡς ἔχεις περιθεμένη, δεῖξον τὸν τράχηλον. ἡ δὲ ἐχ ἡδέθη τῆ δώρε, ἀλλ' εὖ μάλα σοφῶς καὶ πεπαιδευμένως ἀπεκρίνατο. καὶ πῶς, ἔφη, τολμήσω Παρυσάτιδος δῶρον ἄξιον τῆς τεκέσης σε περιθέσθαι 1) αὐτῆ; ἀλλὰ τῆτον μὲν ἀπόπεμψον ἐκείνη, Κῦρε, ἐγὼ δέ σοι καὶ ἄνευ τέτε παρέξω καλὸν τὸν τράχηλον. Ἀσπασία μὲν ἦν μεγαλοφρόνως, καὶ ὑπὲρ τὰς γυναῖκας βασιλικῶς, τὰ ἐναντία ἔδρασεν, ἅπερ εἰώθασι γυναῖκες δρᾶν· φιλόκοσμοι γάρ εἰσι δεινῶς. ὁ δὲ Κῦρος ἡδεὶς τῇ ἀποκρίσει, τὴν μὲν Ἀσπασίαν κατεφίλησεν αὐτὰ δὲ ἔκαιρα καὶ τῶν πραχθέντων καὶ τῶν λεχθέντων εἰς ἐπιτολὴν ἐγγράψας, ἀπέπεμψε πρὸς τὴν μητέρα σὺν τῷ ὅρμῳ. καὶ ἡ Παρυσάτις, λαβῶσα τὸ δῶρον, ἡδὲν ἔλατον ἤσθη τοῖς 2) ἀπεσαλμένοις, ἢ τῷ χρυσῷ, καὶ ὑπὲρ τέτων ἠμείψατο τὴν Ἀσπασίαν μεγάλοις δώροις καὶ βασιλικοῖς. ηὔφρανε γὰρ αὐτὴν μάλισα ἐκεῖνο, ὅτι, καί τοι πάνυ σφόδρα

1) αὐτῇ. (αὐτὴ.) 2) ἐπεσ.

σφόδρα εὐδοκιμῆσα παρὰ τῷ παιδὶ αὐτῆς ἡ Ἀσπασία, ὅμως ἐν τῷ φιλεῖσθαι ὑπὸ Κύρε, ἐβάλετο τῆς Κύρου τεκέσης ἡττᾶσθαι. ἐπήνεσε μὲν ἓν Ἀσπασίᾳ τὰ δῶρα, ἃ μὴν ἔφατο αὐτῶν δεῖσθαι, 1) ἐπεὶ καὶ χρήματα ἦκεν αὐτῇ μετὰ [τῶν] δώρων πάμπολλα ἀπέσειλε δὲ Κύρῳ εἰπῆσα, πολλὰς ἀνθρώπων τρέφεσθαί σοι γένοιτο ἂν ταῦτα λυσιτελῆ· ἐμοὶ δὲ συ ἀρκεῖς φιλέμενος, καὶ κόσμος μοι εἶναι καὶ ἐκ τέτων ἓν, ὥσπερ εἰκὸς, τὸν Κῦρον ἐξέπληξε, καὶ ἀναμφιλόγως ἐθαυμάζετο ἥδε ἡ γυνὴ, καὶ διὰ τὸ κάλλος τὸ τῆ σώματος, καὶ ἔτι μᾶλλον διὰ τὴν εὐγένειαν τῆς ψυχῆς. ὅτε δὲ ἀνῃρέθη Κῦρος ἐν τῇ πρὸς τὸν ἀδελφὸν μάχῃ, καὶ ἑάλω τὸ στρατόπεδον τῆ Κύρε, μετὰ καὶ τῶν ἄλλων λαφύρων καὶ αὐτὴ ἑάλω, ἐκ εἰκῇ καὶ ὡς ἔτυχεν ἐμπεσῆσα εἰς τὰς πολεμίας, ἀλλ' ἀνεζήτησεν αὐτὴν σὺν πολλῇ τῇ φροντίδι ὁ βασιλεὺς Ἀρταξέρξης. ἤδει γὰρ αὐτῆς τὸ κλέος, καὶ τὴν ἀρετήν. ἐπεὶ δὲ αὐτὴν ἤγαγον δεδεμένην, ἠγανάκτει. καὶ τὰς μὲν τῆτο δράσαντας εἰς δεσμωτήριον ἐνέβαλε· προσέταξε δὲ αὐτῇ δοθῆναι κόσμον πολυτελῆ· ἡ δὲ ἀκέσασα, καὶ ποτιωμένη, καὶ δακρύσα ἐπὶ πολλοῖς ἐδιάθη τὴν ἐκ βασιλέως

1) (ἐπεὶ δὲ καὶ — πάμπολλα, ἀπέσειλε Κύρῳ.)

λέως στολὴν ἐνδῦναι· ἐθρήνει γὰρ ἰσχυρῶς τὸν Κῦρον. ἐνδῦσα δὲ, ἐφάνη καλλίστη γυναικῶν. καὶ παραχρῆμα ὁ Ἀρταξέρξης ἐφλέγετο, καὶ κατετήκετο, καὶ πρώτην γε τῶν γυναικῶν ἦγε, καὶ εἰς ὑπερβολὴν ἐτίμα, δι' ὧν ἔσπευδεν αὐτῇ χαρίζεσθαι, θαῤῥῶν ὅτι Κύρε μὲν ἀναπείσει ἐπιλαθέσθαι αὐτὴν, διδάξει δ' ἓν αὐτὸν φιλεῖν ἀδὴν ἐκείνῃ ἧττον. καὶ ἔτυχε μὲν τῆς ἐλπίδος οὐχὶ 1) καὶ βραδέως. δεινὴ γὰρ ἡ εἰς Κῦρον εὔνοια ἐνταῦθα εἶσα τῇ Ἀσπασίᾳ δυσέκνιπτον ὥσπερ μάλισα τὸ φίλτρον ἐνείργασο αὐτῇ. χρόνῳ δὲ ὕστερον Τηριδάτης ὁ εὐνοῦχος ἀποθνήσκει, κάλλιστος τῶν ἐν τῇ Ἀσίᾳ καὶ ὡραιότατος γενόμενος. κατέστρεψε δὲ ἔτος ἄγων τὸν βίον μειρακιέμενος, καὶ ἐκ τῆς παιδικῆς ἡλικίας ἀνατρέχων. ἐλέγετο δὲ αὐτοῦ ἐρᾶν ὁ Βασιλεὺς ἀνδρειότατα. ἐκ δὴ τούτων ἐπένθει βαρύτατα, καὶ δεινότατα ἤλγει, καὶ δημοσίᾳ κατὰ πᾶσαν τὴν Ἀσίαν πένθος ἦν, χαριζομένων ἁπάντων βασιλεῖ 2) τούτῳ. ἐτόλμα τε ἰδεῖς αὐτῷ προσελθεῖν, ἢ δὲ παραμυθήσασθαι· καὶ γὰρ ἐπίστευον ἀνιάτως αὐτὸν ἔχειν ἐπὶ τῷ συμβεβηκότι πάθει. τριῶν δὲ ἡμερῶν διελθουσῶν, στολὴν ἀναλαβοῦσα ἡ Ἀσπασία πενθικὴν,

3) δὲ κ. β. 2) τοῦτο.

ἀπιόντος τοῦ βασιλέως ἐπὶ λετρὸν, ἔξη δακρύουσα, καὶ ἑρῶσα εἰς γῆν. ὁ δὲ ἰδὼν αὐτὴν ἐξεπλάγη, καὶ ἤρετο τὴν αἰτίαν τῆς ἀφίξεως. καὶ ἐκείνη φησὶ, λυπέμενόν σε, βασιλεῦ, καὶ ἀλγοῦντα ἀφῖγμαι παραμυθήσασθαι, εἴ σοι βουλομένῳ ἐστίν. εἰ δὲ χαλεπαίνεις, ἀπαλλάττομαι ὀπίσω. ὑπερήσθη τῇ κηδεμονίᾳ ὁ Πέρσης, καὶ προσέταξεν εἰς τὸν θάλαμον ἀνελθοῦσαν ἀναμεῖναι αὐτόν. ἡ δὲ ἔδρασε ταῦτα. ἐπεὶ δὲ ἐπανῆλθε, τὴν τοῦ εὐνέχου στολὴν ἐπὶ τῇ μελαίνῃ περιῆψε τῇ Ἀσπασίᾳ, καί πως ἔπρεψεν αὐτῇ καὶ τὰ τοῦ μειρακίου, καὶ ἔτι μᾶλλον τὰ τῆς ὥρας αὐτῇ πρὸς τὸν ἔρωτα ἐξέλαμψεν. ἐπεὶ δὲ ἅπαξ ἐχειρώθη τούτοις ἐκεῖνος, ἠξίωσεν αὐτὴν 1) ἐς' ἂν ἀπομαρεν θῇ. τοῦ πένθους αὐτῷ ἡ ἀκμὴ, ἕως ἐξαλμένην ὡς αὐτὸν παριέναι αὐτήν. καὶ ἐκείνη χαριζομένη ἐπείθη αὐτῷ, καὶ μόνη τῶν κατὰ τὴν Ἀσίαν, ἃ γυναικῶν μόνον φασὶν, ἀλλὰ καὶ τῶν τοῦ βασιλέως υἱῶν, καὶ τῶν συγγενῶν, παρεμυθήσατο Ἀρταξέρξην, καὶ τὸ ἐκ τῆς λύπης ἰάσατο πάθος, ἐξάντος τοῦ βασιλέως τῇ κηδεμονίᾳ καὶ τῇ παραμυθίᾳ πειθέντος συνετῶς.

Κεφ.

1) ἕως τ' ἂν.

Κεφ. β'.

Περὶ Μεσῶν.

Οὐδὶς ἔτε πλάσης, ἔτε γραφεὺς, τῶν Διὸς θυγατέρων τὰ εἴδη παρέσχεν ἡμῖν ὡπλισμένα. ὁμολογεῖ δὲ τῦτο, ὅτι δεῖ τὸν ἐν Μέσαις βίον, εἰρηνικόν τε ἅμα καὶ πρᾷον εἶναι.

Κεφ. γ'.

Περὶ Ἐπαμεινώνδε, καὶ Δαιφάντε, καὶ Ἰολαΐδε.

Ἐπαμεινώνδας ὅτε ἐτρώθη ἐν Μαντινείᾳ καιρίαν, εἰς τὴν σκηνὴν κομισθεὶς ἔτι ἔμπνες Δαίφαντον ἐκάλει, ἵνα ἀποδείξῃ στρατηγόν. οἱ δὲ ἔφασαν τεθνᾶναι τὸν ἄνδρα. εἶτα Ἰολαΐδαν καλεῖν διαταχέως ἠξίε. ἐπεὶ δὲ καὶ αὐτὸς ἐλέχθη τεθνᾶναι, συνεβούλευσε διαλυσασθαι πρὸς τὸς πολεμίες, καὶ φιλίαν θέσθαι, ὡς μηκέτι στρατηγῷ 1) καταλαμβανομένῳ ἐν Θήβαις.

Κεφ. δ'.

Περὶ Σεσώστριδος.

Φασὶν Αἰγύπτιοι Σέσωστριν παρ' Ἑρμῆ τὰ 2) νοήματα ἐκμεσωθῆναι.

Κεφ.

1) καταλελειμμένῳ. 2) νόμιμα.

Κεφ. ε'.

Περὶ Λαΐδος.

Ὅτι Λαὶς ἡ ἑταῖρα, ὡς φησιν Ἀριστοφάνης ὁ Βυζάντιος, καὶ ἀξίνη ἐκαλεῖτο. ἤλεγχε δὲ αὐτῆς τὸ ἐπώνυμον τῦτο τὴν τῦ ἤθες ἀγριότητα.

Κεφ. ς'.

Περὶ Μαρίε καὶ Κάτωνος πατέρων.

Ὅτι γελᾶν ἔξεσιν ἐπὶ τοῖς μεγάλως φρονῦσι διὰ τὰς πατέρας, εἶγε ἐν Ῥωμαίοις μὲν Μαρίε τὸν πατέρα ἐκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα. Κάτωνος δὲ τῦ πρεσβύτε καὶ 1) αὐτὸν τὸν πατέρα ἀναζητεῖν χρή.

Κεφ. ζ'.

Περὶ Ἀλεξάνδρε καὶ Ἡφαισίωνος.

Ὅτι Ἀλέξανδρος τὸν Ἀχιλλέως τάφον ἐστεφάνωσε, καὶ Ἡφαισίαν τὸν τῦ Πατρόκλε, αἰνιττόμενος, ὅτι καὶ αὐτὸς ἦν ἐρώμενος τῦ Ἀλεξάνδρε, ὥσπερ Ἀχιλλέως ὁ Πάτροκλος.

Κεφ.

1) αὐτῦ.

Κεφ. ή.

Περὶ Κλεομένους ἐπιβολῆς κατὰ τῦ Ἀρχωνίδου.

Κλεομένης ὁ Λάκων τῶν ἑταίρων τῶν αὐτῦ παραλαβὼν Ἀρχωνίδην, κοινωνὸν ἐποιεῖτο τῶν πραγμάτων. ἐπώμνυεν ὃν, εἰ κατάσχοι, πάντα σὺν τῇ αὐτῦ κεφαλῇ πράξειν. κατασχὼν ὃν τὴν ἀρχὴν, ἀποκλείσας τὸν ἑταῖρον αὐτῦ, καὶ ἀποκείρας τὴν κεφαλὴν, [καὶ] μέλιτι ἐν σκεύει ἐμβαλὼν, ὁπότε μέλλοι τι πράξειν, τῷ ἀγγείῳ προσκύψας, ἔλεγεν ὅσα ἔπραξε, λέγων, μὴ παρασπονδεῖν, μηδὲ ἐπιορκεῖν, βεβουλεῦσθαι δὲ μετὰ τῆς Ἀρχανίδου κεφαλῆς.

Κεφ. θ'.

Πῶς ὁ Τιμησίας ἑκὼν ἀπῆλθε τῆς πατρίδος.

Τιμησίας ὁ Κλαζομένιος καλῶς ἐξηγήσατο τῶν Κλαζομενίων. ἦν γὰρ τῶν ἀγαθῶν ἀνδρῶν. ὃς γε μὴν εἴωθε κατισχύειν τῶν τοιούτων φθόνος, καὶ τῦ Τιμησίου κατεκράτει. καὶ τὰ μὲν πρῶτα ὀλίγον ἔμελε φθονουμένῳ αὐτῷ. τῆς δὲ πατρίδος ἑκεῖνο αὐτὸν ἐξελάσαι φασί. παρῆει διὰ διδασκαλείου, οἱ δὲ παῖδες ἀφεθέντες ὑπὸ τῦ διδασκάλου ἔπαιζον. γίνεται δὲ δύο παίδων ὑπὲρ γραμμῆς φιλοτιμία· καὶ ὁ εἷς ἐπώμοσεν, ἅτω ἐγὼ Τιμησίου τὸν ἐγκέφαλον ἐξαράξαιμι. τῦτο ἑκεῖνος ἀκούσας, καὶ ὑπολαβὼν ἀκρατῶς ἔχειν φθόνου, καὶ δεινῶς ὑπὸ τῶν πολιτῶν μεμισῆσθαι, εἴγε καὶ οἱ παῖδες αὐτὸν μισοῦσι, μήτι γε οἱ ἄνδρες, ἀπῆλθεν ἑκὼν τῆς πατρίδος.

Κεφ. ί.

Ὅτι πρῶτοι ἔκοψαν Αἰγινῆται νόμισμα.

Αἰγινῆταί ποτε ἐδυνήθησαν τὰ μέγιστα ἐν τοῖς Ἕλλησιν, εὐφορίαν τινὰ χρόνων καὶ εὐκαιρίαν λαχόντες. δύναμιν γὰρ ναυτικὴν ἔχον, καὶ ἦσαν μέγιστοι. ἀλλὰ καὶ ἐν τοῖς Περσικοῖς ἀγαθοὶ ἐγένοντο, καὶ διὰ ταῦτα καὶ τῶν ἀριστείων ἠξιώθησαν. καὶ πρῶτοι νόμισμα ἐκόψαντο, καὶ ἐξ αὐτῶν ἐκλήθη νόμισμα Αἰγιναῖον.

Κεφ. ιά.

Περὶ Παλλαντίου λόφου καὶ Πυρετῦ καὶ νεὼ καὶ βωμῦ.

Ὅτι Ῥωμαῖοι ὑπὸ τῷ λόφῳ τῷ Παλλαντίῳ, Πυρετῦ καὶ νεὼν καὶ βωμὸν ἱδρύσαντο.

Κεφ.

Κεφ. ιβ'.

Περὶ τῦ ἐν Κρήτη συλληφθέντος μοιχῦ.

Ὅτι ἐν Κρήτῃ ἐν Γορτύνῃ μοιχὸς ἁλὺς ἤγετο ἐπὶ τὰς ἀρχάς, καὶ ἐσεφανῦτο ἐρίῳ ἐλεγχθείς. τὸ δὲ σεφάνωμα κατηγόρει αὐτῦ, ὅτι ἀνανδρός ἐσι, καὶ γύννις, καὶ εἰς γυναῖκας καλός. καὶ ἐπιπράσκετο δημοσίᾳ εἰς σατῆρας πεντήκοντα, καὶ ἀτιμότατος ἦν, καὶ ἀδενός οἱ μετῆν τῶν κοινῶν.

Κεφ. ιγ'.

Πῶς ἡ Γνάθαινα ἑταῖρα καλεσίγασε λάλον.

Ἄφικετο ἐξ Ἑλλησπόντῦ παρὰ τὴν ἑταίραν τὴν Ἀτλικὴν Γνάθαιναν ἐρασὴς, κατὰ κλέος αὐτῆς. παρὰ πότον ἓν πολυς ἦν λαλῶν, καὶ ἐδόκει φορτικός. ὑπολαβῦσα ἓν ἡ Γνάθαινα, εἶτα σὺ μέντοι λέγεις (εἶπεν) ἥκειν ἐξ Ἑλλησπόντῦ; τῦ δὲ ὁμολογήσαντος· καὶ πῶς, εἶπεν, οὐκ ἔγνως τῶν ἐκεῖ πόλεων τὴν πρώτην; τῦ δὲ εἰπόντος, καὶ τίς ἐσιν; ἥδε ἀπεκρίνατο, Σίγειον. καὶ ἐμμελῶς διὰ τῦ ὀνόματος κατεσίγασεν αὐτόν.

Κεφ.

Κεφ. ιδ'.

Περί τινων τὸ σῶμα ὡραίων.

Ἐρασμιώτατον καὶ ὡραιότατόν φασιν, Ἑλλήνων μὲν γενέσθαι Ἀλκιβιάδην, Ῥωμαίων δὲ Σκιπίωνα. καὶ Δημήτριον τὸν Πολιορκητὴν λέγῦσιν ὥρας ἀμφισβητῆσαι. Ἀλέξανδρον δὲ τὸν Φιλίππῦ ἀπραγμόνως ὡραῖον λέγῦσι γενέσθαι. τὴν μὲν γὰρ κόμην ἀναστρέφεσθαι αὐτῷ, ξανθὴν δὲ εἶναι. ὑπαναφύεσθαι δέ τι ἐκ τῦ εἴδῦς φοβερὸν τῷ Ἀλεξάνδρῳ λέγῦσιν. ὁ δὲ Ὅμηρος ὅταν τὸν καλὸν θέλῃ ἐλέγξαι, δένδρεσις αὐτὸν παραβάλλει. ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος.

Κεφ. ιε'.

Περὶ ἀρίστων τινῶν τοῖς παιδίοις τερπομένων.

Τὸν Ἡρακλῆ λέγῦσι τὰς ἐν τοῖς ἄθλοις σπουδὰς διαναπαύειν ταῖς παιδιαῖς. ἔπαιζε δὲ ἄρα ὁ Διὸς καὶ Ἀλκμήνης μετὰ παιδίων πάνυ σφόδρα. τῦτό τοι καὶ ὁ Εὐριπίδης ἡμῖν ὑπαινίττεται, ποιήσας τὸν αὐτὸν τῦτον θεὸν λέγοντα· παίζω μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ. λέγει δὲ τῦτο, παιδίον κατέχων. καὶ Σωκράτης δὲ κατελήφθη

λήφθη ποτὲ ὑπὸ Ἀλκιβιάδε παίζων μετὰ Λαμπροκλέους ἔτι νηπίε.

Ἀγησίλαος δὲ, κάλαμον περιβὰς, ἵππευε μετὰ τῦ υἱῦ παιδὸς ὄντος, καὶ πρὸς τὸν γελάσαντα εἶπε· νῦν μὲν σιώπα, ὅταν δὲ γένῃ παλὴρ αὐτὸς, τότε ἐξαγορεύσεις πρὸς τὲς πατέρας. ἀλλὰ καὶ Ἀρχύτας ὁ Ταραντῖνος, πολίτικός τε καὶ φιλόσοφος ἀνὴρ γενόμενος, πολλὲς ἔχων οἰκέτας, τοῖς αὐτῶν παιδίοις πάνυ σφόδρα ἐτέρπετο, μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοῖς ἐν τοῖς συμποσίοις.

Κεφ. ις'.

Τίσι δι' ἀρετὴν ἀπήχθετο ὁ Ἀλέξανδρος.

Ὅτι ἀπήχθετο Περδίκκᾳ Ἀλέξανδρος, ὅτι ἦν πολεμικός· Λυσιμάχῳ δὲ, ἐπεὶ στρατηγεῖν ἀγαθός· Σελεύκῳ δὲ, ὅτι ἀνδρεῖος ἦν. Ἀντιγόνε δὲ αὐτὸν ἐλύπει τὸ φιλότιμον. Ἀτάλε δὲ τῷ ἡγεμονικῷ ἤχθετο, Πτολεμαίε δὲ τῷ δεξιῷ.

Κεφ. ιζ'.

Περὶ Δημητρίε εἰς ἑταίρας οἰκίαν φοιτῶντος.

Ὅτι Δημήτριος, τοσέτων ἐθνῶν ἡγεμονεύων, ἐφοίτα εἰς Λαμίας τῆς ἑταίρας σὺν τοῖς ὅπλοις, καὶ φορῶν τὸ διάδημα. αἴσχιστον μὲν ἦν αὐτῷ, καὶ οἰκαδε μεταπέμψασθαι τὴν ἄνθρωπον· ὁ δὲ παρ' ἐκείνην ἐφοίτα φιλοφρόνως. ἀλλ' ἔγωγε Θεόδωρον τὸν αὐλητὴν προτιμήσαιμι τῷ Δημητρίῳ· ἐπεὶ τὸν Θεόδωρον μετεπέμπετο ἡ Λαμία, ὁ δὲ ὑπερεῖδε τὴν κλῆσιν.

Κεφ. ιή.

Ὅτι Φάων ὡραῖος ἦν.

Τὸν Φάωνα, κάλλιστον ἀνθρώπων ὄντα, ἡ Ἀφροδίτη ἐν θριδακίναις ἔκρυψε. λόγος δὲ ἕτερος, ὅτι ἦν πορθμεὺς, καὶ εἶχε τῦτο τὸ ἐπιτήδευμα. ἀφικνεῖτο δέ ποτε ἡ Ἀφροδίτη, διαπλεῦσαι βελομένη· ὁ δὲ ἀσμένως ἐδέξατο, ἐκ εἰδὼς, ὅς τις ἦν, καὶ σὺν πολλῇ φρονίδι ἤγαγεν, ὅποι ποτὲ ἐβέλετο. ἀνθ' ὧν ἡ θεὸς ἔδωκεν ἀλάβαστρον αὐτῷ, καὶ εἶχεν αὐτὴ μῦρον, ᾧ χριόμενος ὁ Φάων ἐγένετο ἀνθρώπων κάλλιστος, καὶ

ἥρων γε αἱ γυναῖκες αὐτῷ αἱ Μιτυληναίων. τά γε μὴν τελευταῖα ἀπεσφάγη, μοιχεύων ἁλούς.

Κεφ. ιθ'.

Περὶ Σαπφοῦς.

Τὴν ποιήτριαν Σαπφὼ, τὴν Σκαμανδρωνύμου θυγατέρα, ταύτην καὶ Πλάτων ὁ Ἀρίστωνος σοφὴν ἀναγράφει. πυνθάνομαι δὲ, ὅτι καὶ ἑτέρα ἐν τῇ Λέσβῳ ἐγένετο Σαπφὼ, ἑταίρα, ὁ ποιήτρια.

Κεφ. κ'.

Περὶ ἀηδόνος καὶ χελιδόνος.

Λέγει Ἡσίοδος τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμελεῖν ὕπνου, καὶ διὰ τέλους ἀγρυπνεῖν. τὴν δὲ χελιδόνα ἓν εἰς τὸ παντελὲς ἀγρυπνεῖν, καὶ ταύτην δὲ ἀπολωλέναι τοῦ ὕπνου τὸ ἥμισυ. τιμωρίαν δὲ ἄρα ταύτην ἐκτίνυσι διὰ τὸ πάθος τὸ ἐν Θρᾴκῃ κατατολμηθὲν, τὸ εἰς τὸ δεῖπνον ἐκεῖνο τὸ ἄθεσμον.

Κεφ. κα'.

Περὶ Λακεδαιμονίων γυναικῶν.

Αἱ Λακεδαιμονίων μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, ἀλλ' αὐταί γε ἀφικόμεναι τὰ τραύματα αὐτῶν ἐπεσκόπουν, τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν. καὶ εἰ ἦν πλείω τὰ ἐναντία, ἄσμεναι, καὶ σεμνὸν ἄρα καὶ βλοσυρὸν ὁρῶσαι, τοὺς παῖδας εἰς τὰς πατρῴας ἔφερον ταφάς· εἰ δὲ ἑτέρως εἶχον τῶν τραυμάτων, ἐνταῦθα αἰδέμεναι, καὶ θρηνοῦσαι, καὶ ὡς ἔνι μάλιστα λαθεῖν σπεύδουσαι, ἀπηλλάττοντο, καταλιποῦσαι τοὺς νεκροὺς ἐν τῷ πολυανδρίῳ θάψαι, ἢ λάθρα εἰς τὰ οἰκεῖα ἠρία ἐκόμιζον αὐτούς.

Κεφ. κβ'.

Περὶ Τιτόρμου ἰσχύος, καὶ Μίλωνος, καὶ παροιμίας τινός.

Τιτόρμῳ Φασὶ τῷ βακόλῳ περιτυχεῖν τὸν Κροτωνιάτην Μίλωνα μεγαλοφρονοῦντα διὰ τὴν ῥώμην τοῦ σώματος. θεασάμενος δὲ μέγαν τὸν Τίτορμον, τὸ σῶμα ἰδεῖν, ἐβούλετο λαβεῖν αὐτοῦ ἰσχύος πεῖραν. ὁ δὲ Τίτορμος ἔλεγε μηδὲν μέγα ἰσχύειν. καταβὰς δὲ εἰς τὸν Εὔηνον, καὶ θοιμάτιον ἀποδὺς, λίθον λαμβάνει μέγιστον, καὶ πρῶτον μὲν ἔλκει αὐτὸν πρὸς ἑαυτὸν, εἶτα ἀπωθεῖ, καὶ δὶς καὶ τρὶς τοῦτο ἐποίησε, καὶ μετὰ ταῦτα αὐτὸν ἦρεν ἕως

εἰς τὰ γόνατα. καὶ τέλος αἰράμενος ἐπὶ τῶν ὤμων ἔφερεν, ὅσον ἐπ' ὀργυιὰς ὀκτὼ, καὶ ἔῤῥιψεν. ὁ δὲ Κροτωνιάτης Μίλων μόλις τὸν λίθον ἐκύλισεν. εἶτα δεύτερος ἆθλος τῷ Τιτόρμῳ· ἐπὶ τὴν ἀγέλην ἦλθε, καὶ ξὰς ἐν μέσῳ, τὸν μέγιστον ταῦρον ἄγριον ὄντα λαμβάνει τῷ ποδός. καὶ ὁ μὲν ἀποδρᾶναι ἔσπευδεν, ὃ μὴν ἐδύνατο. παριόντα δὲ ἕτερον τῇ ἑτέρᾳ χειρὶ συναρπάσας τῷ ποδὸς, ὁμοίως εἶχε. θεασάμενος δὲ ὁ Μίλων, εἰς τὸν ἀρανὸν τὰς χεῖρας τείνας, ἔφατο, ὦ Ζεῦ, μὴ τῦτον Ἡρακλῆν ἕτερον ἔσπαρας; ἐνταῦθα ῥηθῆναι λέγσι τὴν παροιμίαν, ἄλλος ἔτος Ἡρακλῆς.

Κεφ. κγ'.

Περὶ Κελτῶν εὐτολμίας.

Ἀνθρώπων ἐγὼ ἀκήκοα φιλοκινδυνοτάτες εἶναι τὲς Κελτές. τῶν ἀσμάτων ἓν ὑποθέσεις ποιῦνται τὲς ἀνδρώπες τὲς ἀποθανόντας ἐν τῷ πολέμῳ καλῶς. καὶ μάχονται δὲ ἐξεφανωμένοι, ἀλλὰ καὶ τρόπαια ἐγείρσιν, ἅμα τε ἐπὶ τοῖς πεπραγμένοις σεμνυνόμενοι, καὶ ὑπομνήματα αὐτῶν τῆς ἀρετῆς ἀπολείποντες ἑλληνικῶς. ἔτως δὲ αἰσχρὸν νομίζσι τὸ φεύγειν, ὡς μηδὲ

μηδὲ ἐκ τῶν οἰκιῶν κατολισθαινθσῶν καὶ ἐμπιπλθσῶν πολλάκις ἀποδιδράσκειν. ἀλλὰ μηδὲ πιμπραμένων αὐτῶν, παραλαμβανομένης ὑπὸ τῦ πυρός. πολλοὶ δὲ καὶ ἐπικλύζσαν τὴν θάλασσαν ὑπομένσιν. εἰσὶ δὲ καὶ οἱ ὅπλα λαμβάνοντες ἐμπίπτσι τοῖς κύμασι, καὶ τὴν φορὰν αὐτῶν εἰσδέχονται, γυμνὰ τὰ ξίφη καὶ τὰ δόρατα προσείοντες, ὡσπερεῖ ἢ φοβῆσαι δυνάμενοι, ἢ τρῶσαι.

Κεφ. κδ'.

Περὶ Σμινδυρίδε ἀβροδιαίτης καὶ ἀδδηφαγίας.

Σμινδυρίδην τὸν Συβαρίτην λέγσιν ἐπὶ τοσῦτον τρυφῆς ἐξοκεῖλαι, ὡς εἰς Σικυῶνα αὐτὸν ἀφικέσθαι μνησῆρα Ἀγαρίσης τῆς Κλεισθένες, καὶ ἐπάγεσθαι χιλίας μὲν μαγείρες, τοσύτες δὲ ὀρνιθευτὰς, καὶ ἁλιεῖς χιλίες.

Κεφ. κε.

Πολλοὶ τῶν ἀρίσων τίνων ὠνάντο καὶ ἀπήλαυσαν.

Ὠνάλο ἄρα καὶ Ὀδυσσεὺς Ἀλκίνε, καὶ Ἀχιλλεὺς Χείρωνος, καὶ Πάτροκλος

Ἀχιλλέως, καὶ Ἀγαμέμνων Νέσορος, καὶ Τηλέμαχος Μενελάϐ, καὶ Ἕκτωρ Πολυδάμαντος. ἐν οἷς αὐτῷ 1) προσεῖχον, καὶ οἱ Τρῶες Ἀντήνορος· καὶ οἱ Πυθαγόρειοι μὲν ὁμιληταὶ, Πυθαγόρᾳ ὤναντο. οἱ Δημοκρίτειοι δὲ, συγγενόμενοι Δημοκρίτῳ, πολλῶν ἀπήλαυσαν. Σωκράτει δὲ εἰ προσεῖχον οἱ Ἀθηναῖοι, πάντα ἂν ἐγένοντο εὐδαίμονες, εἰ ἐφιλοσόφουν. καὶ Ἱέρων δὲ ὁ Δεινομένους, Σιμωνίδῃ τῷ Κείῳ ἀπήλαυσε, καὶ Πολυκράτης Ἀνακρέοντος, καὶ Ξενοφῶντος Πρόξενος, καὶ Ἀντίγονος Ζήνωνος. ἵνα δέ μοι, καὶ τῶν ἐμοὶ προσηκόντων, ἐδὲν ἧττον, ἅπερ καὶ οἱ Ἕλληνες προσήκασι, μεμνήσωμαι, διαφέρει δέ μοι καὶ τούτων, ἔγε Ῥωμαῖός εἰμι, καὶ Λεύκολλος Ἀντιόχᾳ τι ὤνατο τῷ Ἀσκαλωνίτῃ, καὶ Μακήνας Ἀρείῳ, καὶ Κικέρων Ἀπολλωνίῳ, καὶ ὁ Σεβαστὸς Ἀθηνοδώρῳ. Πλάτων δὲ, ἐμοῦ καί τοι σοφώτερος ὤν, λέγει, ὅτι καὶ Ζεὺς εἶχε σύμβολον, τίνα δὲ καὶ ὅπως, παρ' ἐκείνου 2) μανθάνομεν.

Κεφ. κε'.

Περὶ οἰνοφλύγων τινῶν.

Ποτίσματοι γεγόνασιν ἄνθρωποι, ὥσπερ φασὶ, Ξεναγόρας ὁ Ῥόδιος, ὃν ἐκάλεν ἀμφο-

1) προσεῖχε. scil. Πολυδ. 2) μανθάνομεν.

ἀμφορέα, καὶ Ἡρακλείδης ὁ πύκτης, καὶ Πρωτέας ὁ Λανίκης μὲν υἱὸς, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως σύντροφος, καὶ αὐτὸς δὲ Ἀλέξανδρος λέγεται πλεῖστον πιεῖν ἀνθρώπων.

Κεφ. κϛ'.

Ὅτι ὁ Ἡρακλῆς ἥμερος ἦν τοῖς ἑαυτοῦ πολεμίοις.

Ἡμερώτατά φασι τὸν Ἡρακλῆν προσενεχθῆναι τοῖς ἑαυτοῦ πολεμίοις. πρῶτον γὰρ τῶν ἐξ αἰῶνος νεκροὺς 1) ἀποσπόνδους ἀποδοῦναι ταφησομένους. εἰωθότων τῶν τότε ὀλιγωρεῖν τῶν ἀνῃρημένων, καὶ ἀπολείπειν αὐτοὺς κυνῶν δεῖπνον εἶναι. καὶ Ὅμηρος, Ἑλώρια τεῦχε κύνεσσι, καὶ Κυσὶ μέλπηθρα γενέσθαι.

Κεφ. κή.

Περὶ τοῦ ἐν Ἀθήναις Λεωκορίου.

Λεωκόριον Ἀθήνησιν ἐκαλεῖτο τὸ τέμενος τῶν Λεοῦ θυγατέρων, 2) Πραξιτέας, καὶ Θεόπης, καὶ Εὐβούλης. ταύτας δὲ ὑπὲρ τῆς πόλεως τῆς Ἀθηνῶν ἀναιρεθῆναι λόγος ἔχει, ἐπιδόντος αὐτὰς τοῦ Λεοῦ εἰς τὸν χρησμὸν τὸν Δελφικόν. ἔλεγε γὰρ, μὴ ἂν ἄλλως

1) ὑποσπ. 2) Πραξιθέας.

ἄλλως σωθῆναι τὴν πόλιν, εἰ μὴ ἐκείναις σφαγιασθεῖεν.

Κεφ. κθ'.

Τί εἶπεν ὁ Πλάτων περὶ Ἀκραγαντίνων πολυτελείας.

Πλάτων ὁ Ἀρίστωνος ἰδὼν Ἀκραγαντίνους, καὶ οἰκοδομοῦντας πολυτελῶς, καὶ ὁμοίως δειπνοῦντας, εἶπεν, ὅτι ἆρα οἱ Ἀκραγαντῖνοι οἰκοδομοῦσι μὲν ὡς ἀεὶ βιωσόμενοι, δειπνοῦσι δὲ ὡς ἀεὶ τεθνηξόμενοι. λέγει δὲ Τίμαιος, καὶ ὅτι ἀργυραῖς ληκύθοις, καὶ σλεγγίσιν ἐχρῶντο, καὶ ἐλεφαντίνας κλίνας εἶχον ὅλας.

Κεφ. λ'.

Περὶ Ταραντίνων οἰνοφλυγίας, καὶ Κυρηναίων τρυφῆς.

Ταραντίνοις ἐν ἔθει ἦν πίειν μὲν ἐξ ἑωθινοῦ, μεθύειν δὲ περὶ πλήθουσαν ἀγοράν. εἰς τοσοῦτον δὲ ἆρα Κυρηναῖοι τρυφῆς ἐξώκεισαν, ὥστε Πλάτωνα παρεκάλεν, ἵνα αὐτοῖς γένηται νομοθέτης· τὸν δὲ ἀπαξιῶσαι φασὶ διὰ τὴν ἐξ ἀρχῆς ῥᾳθυμίαν αὐτῶν. Ὁμολογεῖ δὲ καὶ Εὔπολις ἐν τῷ Μαρικᾷ, ὅς τις αὐτῶν εὐτελέστατος σφραγῖδας εἶχε

εἶχε δέκα μνῶν. παρῆν δὲ θαυμάζεσθαι καὶ τοὺς διαγλύφοντας τοὺς δακτυλίους.

Κεφ. λά.

Περὶ διαφόρων οἴνων Ἑλληνικῶν.

Φέρε οἴνων Ἑλληνικῶν διὰ σπουδῆς ὄντων ἐν τοῖς 1) παλαιοῖς, ὀνόματα καταλέξω ὑμῖν. Πράμνειόν τινα ἐκάλουν, ἱερὸν δ' ἦν ἆρα τοῦτο τῆς Δημήτρας, καὶ Χῖος οἶνος ἐκ τῆς νήσου, καὶ Θάσιος ἄλλος καὶ Λέσβιος, καὶ ἐπὶ τούτοις Γλυκύς τις ἐκαλεῖτο, πρέπων τῷ ὀνόματι τὴν γεῦσιν. καὶ Κρὴς ἄλλος. καὶ ἐν Συρακούσαις Πόλιος, ἐκλήθη δὲ ἀπό τινος ἐγχωρίου βασιλέως. ἔπινον δὲ καὶ Κῶον οἶνον, καὶ ἔτως αὐτὸν ἐκάλουν, καὶ Ῥόδιον κατὰ τὰ αὐτὰ ὀνομάζοντες.

Τί δὲ, οὐκ ἐκεῖνα τοῖς Ἕλλησι τρυφῆς ἀπόδειξις; μύρῳ γὰρ οἶνον μιγνύντες ἔτως ἔπινον, καὶ 2) ὑπερηναγκάζοντο τὴν τοιαύτην κρᾶσιν, καὶ ἐκαλεῖτο ὁ οἶνος Μυρσινίτης. μέμνηται δὲ αὐτοῦ Φιλιππίδης ὁ τῆς κωμῳδίας ποιητής.

1) πάλαι. 2) ὑπερηγάζοντο.

Κεφ. λβ'.

Περὶ Πυθαγόρου, Ἐμπεδοκλέους, Ἱππίου, καὶ Γοργίου ἐνδύματος καὶ ὑποδήματος.

Πυθαγόρας ὁ Σάμιος λευκὴν ἐσθῆτα ἤσθητο, καὶ ἐφόρει στέφανον χρυσοῦν, καὶ ἀναξυρίδας. Ἐμπεδοκλῆς δὲ ὁ Ἀκραγαντῖνος ἁλουργεῖ ἐχρήσατο, καὶ ὑποδήμασι χαλκοῖς. Ἱππίαν δὲ καὶ Γοργίαν ἐν πορφυραῖς ἐσθῆσι περιέναι διαρρεῖ λόγος.

Κεφ. λγ'.

Ὅτι οἱ Ῥωμαῖοι τὴν τοῦ ἰατροῦ τοῦ Πύρρου ἐπιβουλὴν οὐ προσήκαντο.

Κινέας ὁ Πύρρου ἰατρός, φασι, πρὸς τὴν βουλὴν τῶν Ῥωμαίων ἔγραψε δι' ἀπορρήτων, καὶ ἤτει χρήματα, καὶ ὑπισχνεῖτο ἀποκτείνειν φαρμάκοις τὸν Πύρρον. οἱ δὲ οὐ προσήκαντο τὴν ὑποχεσιν. δι' ἀρετῆς γὰρ ἴσασι Ῥωμαῖοι ἀγαθοὶ εἶναι· οὐ μὴν διὰ τέχνης, καὶ πανουργίας, καὶ ἐπιβουλῆς καταγωνίσασθαι τοὺς ἐχθρούς. ἀλλὰ καὶ αὐτῷ τῷ Πύρρῳ τὴν γνώμην τοῦ Κινέου 1) ἐξέφηναν.

Κεφ.

1) ἐξέφαναν.

Κεφ. λδ'.

Περὶ Παυσανίου καὶ Ἀπελλοῦ ἐρώτων.

Ἔρωτες ἡμῖν τῶν ἀρχαίων πολλοὶ μὲν καὶ ἄλλοι εἰς μνήμην ἐδόθησαν, καὶ ἔτος δὲ οὐχ ἥκιστα.

Παυσανίας μὲν γὰρ ἦρα τῆς αὐτοῦ γυναικός. Ἀπελλῆς δὲ καὶ τῆς Ἀλεξάνδρου παλλακῆς, ἥπερ ὄνομα ἦν Παγκάστη, τὸ δὲ γένος Λαρισσαία ἦν. ταύτῃ καὶ πρώτῃ, φασὶν, ὁ Ἀλέξανδρος ὡμίλησεν.

Κεφ. λε.

Περὶ Περιάνδρων, Μιλτιαδῶν, Σιβύλλων, Βακίδων.

Ὅτι δύο Περίανδροι, ὁ μὲν σοφὸς ἦν, ὁ δὲ τύραννος. καὶ Μιλτιάδαι τρεῖς, ὁ τὴν Χερρόνησον κτίσας, καὶ ὁ Κυψέλου, καὶ ὁ Κίμωνος. Σιβύλλαι τέσσαρες, ἡ Ἐρυθραία, ἡ Σαμία, ἡ Αἰγυπτία, ἡ Σαρδιανή. οἱ δὲ φασι, καὶ ἑτέραν ἓξ, ὡς εἶναι τὰς πάσας δέκα, ὧν εἶναι καὶ τὴν Κυμαίαν, καὶ τὴν Ἰσθμίαν. Βάκιδες τρεῖς, ὁ μὲν Ἕλλην, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς.

Κεφ. λς'.

Περὶ ἀριθμοῦ Νιόβης παίδων.

Ἔοικασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνάδειν ἀλλήλοις. Ὅμηρος μὲν ἓξ λέγει, καὶ τοσαύτας κόρας. Λάσος δὲ δὶς ἑπτὰ λέγει· Ἡσίοδος δὲ ἐννέα καὶ δέκα. εἰ μὴ ἄρα ἓν ἐκ τούτων Ἡσιόδου τὰ ἔπη, ἀλλ', ὡς πολλὰ καὶ ἄλλα, κατέψευσαι αὐτοῦ. Ἀλκμὰν δέκα φησί· 1) Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος τοσούτους.

Κεφ. λζ'.

Περὶ Ἀλεξάνδρου ἐν ἀπορίᾳ τροφῶν γενομένου, καὶ πῶς τινες κῶμαι διὰ τὸν καπνὸν ἐάλωσαν.

Ἀλέξανδρος ὅτε Βῆσσον ἐδίωκεν, ἐπ' ἀπορίᾳ γενόμενος τροφῶν, αὐτός τε ἥψατο τῶν καμήλων, καὶ ὑποζυγίων ἄλλων, καὶ οἱ σὺν αὐτῷ. τῶν τε ξύλων αὐτοὺς ἐπιλιπόντων, ὠμὰ τὰ κρέα ἤσθιον. ἐπεκέρει δὲ αὐτοῖς τὸ σίλφιον, πολὺ ὄν, ὥστε τὰς σάρκας συνεκπέτλειν.

Ἐν δὲ τῇ Βακτριανῇ οἱ στρατιῶται αὐτὰς τὰς κώμας κατελάμβανον, ὅτι οἰκεῖαι ἐκ τοῦ καπνοῦ 2) συνιόντες, καὶ τὴν χιόνα ἀφαιρεῦντες τῶν θυρῶν. Κεφ.

1) Μίμνερμος. 2) συνιέντες.

Κεφ. λη'.

Περὶ ἵππων τῶν Σακῶν, καὶ τινων ἐθῶν αὐτῶν.

Οἱ Σακῶν ἵπποι, ἐὰν ἀποβάλῃ τις τὸν δεσπότην, ἐς τὸ ἀναβῆναι αὐτὸν παρέσηκεν. ἐὰν δέ τις γῆμαι 1) βέλεται παρθένον, μονομαχεῖ τῇ 2) παιδίσκῃ, καὶ κρατήσασα μὲν, αἰχμάλωτον ἀγάγεται, καὶ κρατεῖ αὐτοῦ, καὶ ἄρχει. ἐὰν δὲ νικηθῇ, ἄρχεται. καὶ μονομαχοῦσι δὲ ἄχρι νίκης, ἢ μέχρι θανάτου. πενθοῦντες δὲ οἱ Σάκαι, εἰς οἴκους τινὰς ὑπάντους καὶ κατασκίους ἀποκρύπτονται.

Κεφ. λθ'.

Περὶ Περδίκκου εὐτολμίας, καὶ λεαίνης.

Περδίκκας ὁ Μακεδὼν, ὁ συστρατευσάμενος Ἀλεξάνδρῳ, ἔτως ἄρα ἦν εὐτολμος, ὡς ποτε εἰς σπήλαιον παρελθεῖν, ἔνθα εἶχεν εὐνὴν λέαινα, μόνος· καὶ τὴν μὲν λέαιναν ἀπατέλαβε, τοὺς γε μὴν σκύμνους αὐτῆς κομίζων προῆλθε, καὶ ἔδοξεν ἐπὶ τούτῳ θαυμάζεσθαι ὁ Περδίκκας. πεπίστευται δὲ ἃ μόνον παρὰ τοῖς Ἕλλησιν ἀλκιμώτατόν

 τε,

1) βέλεται. 2) παιδί.

τε καὶ δυσμαχώτατον εἶναι θηρίον ἡ λέαινα, ἀλλὰ καὶ παρὰ τοῖς Βαρβάροις. Φασὶ γὰρ καὶ Σεμίραμιν τὴν Ἀσσυρίαν, ἐπ, εἴποτε εἶλε λέοντα, ἢ πάρδαλιν κατέκτανεν, ἢ ἄλλο τι τῶν τοιούτων, ἀλλ' εἰ λεαίνης ἐγκρατὴς ἐγένετο, μέγα ἐφρόνει.

Κεφ. μ'.

Περὶ τῶν τῷ Ξέρξῃ ἑπομένων ἐφοδίων.

Τάτε ἄλλα ἐφόδια εἵπετο τῷ Ξέρξῃ πολυτελείας καὶ ἀλαζονείας πεπληρωμένα, καὶ ἓν καὶ ὕδωρ ἠκολούθει τὸ ἐκ τοῦ Χοάσπου. ἐπεὶ δ' ἔν τινι ἐρήμῳ τόπῳ 1) ἐδίψησαν, ἐδεήθη τῆς θεραπείας ἠκέσης, ἐκηρύχθη τῷ στρατοπέδῳ, εἴ τις ἔχει ὕδωρ ἐκ τοῦ Χοάσπου, ἵνα δῷ βασιλεῖ πιεῖν. καὶ εὑρέθη τις βραχὺ καὶ σεσηπὸς ἔχων. ἔπιεν ἓν τοῦτο ὁ Ξέρξης, καὶ εὐεργέτην τὸν δόντα ἐνόμισεν, ὅτι ἂν ἀπώλετο τῇ δίψῃ, εἰ μὴ ἐκεῖνο εὑρέθη.

Κεφ. μά.

Περὶ Πρωτογένους τοῦ ζωγράφου.

Πρωτογένης ὁ ζωγράφος τὸν Ἰάλυσόν, φασιν, ἑπτὰ ἔτεσι διατελῶν γράφων ἐξε-

1) ἐδίψησεν.

ἐξετέλεσεν. ὃν Ἀπελλῆς ἰδὼν, τὸ μὲν πρῶτον ἔσπ ἄφωνος, ἐκπλαγεὶς ἐπὶ τῇ παραδόξῳ θέᾳ. εἶτα ἀπιδὼν ἔφη, καὶ ὁ πόνος μέγας καὶ ὁ τεχνίτης, ἀπολείπεταί γε μὴν τῆς χειρουργίας ἡ χάρις, ἧς ὁ ἀνὴρ εἰ τύχοι, ὁ πόνος αὐτῷ τῷ ἐρανῷ ψαύσει.

Κεφ. μβ'.

Περί τινων ἀνθρώπων ὑπὸ θηρίων τραφέντων.

Κύρον τὸν Μανδάνης ἔθρεψε, φασὶ, κύων. Τήλεφον δὲ τὸν 1) Ἀγαυῆς καὶ Ἡρακλέους, ἔλαφος. Πελίαν δὲ τὸν Ποσειδῶνος καὶ Τυρῶς, 2) ἵππος.

Ἀλλὰ καὶ τὸν Ἀλόπης Ἀλέξανδρον τὸν Πριάμου ὑπὸ ἄρκτου φασὶ τραφῆναι. Αἴγισθον δὲ τὸν Θυέστου καὶ Πελοπίας, ὑπὸ αἰγός.

Κεφ. μγ'.

Τίνες ἐξ ἀσήμων περιφανεῖς γεγόνασι.

Δαρεῖον ἀκούω τὸν Ὑστάσπου Φαρετροφόρον Κύρου γενέσθαι. ὁ δὲ τελευταῖος Δαρεῖος ὑπὸ Ἀλεξάνδρου νικηθεὶς, 3) δοῦλος ἦν. Ἀρχέλαος δὲ ὁ Μακεδόνων βασιλεὺς δούλης υἱὸς ἦν τῆς Σιμίχης. Μενέ-

1) Αὔγης. 2) ἵππος· ἀ. κ. τ. Ἀλόπης. Ἀλ. (δὲ).
3) δοῦλος.

Μενέλαος ὁ Φιλίππε πάππος εἰς τὰς νόθας ἐτέλει. ὁ δὲ τότε υἱὸς Ἀμύντας, ὑπηρέτης 1) Λερόπης, καὶ δῆλος ἐπεπίστευτο. Περσεὺς δὲ, ὃν καθεῖλε Παῦλος ὁ Ῥωμαῖος, Ἀργεῖος μὲν γένος ἦν, ἀδόξε δέ τινος υἱός. Εὐμένης δὲ πατρὸς ἀπόρε καὶ τυμβαύλε πεπίστευται γενέσθαι. Ἀντίγονος ὁ Φιλίππε, ὁ καὶ ἑτερόφθαλμος, καὶ ἐκ τότε κύκλωψ προσαγορευθεὶς, αὐτεργὸς 2) ἦν Πολυσπέρχε, καὶ ἐλήστευε. Θεμιστοκλῆς δὲ, ὁ τὰς βαρβάρες καταναυμαχήσας, καὶ μόνος συνιεὶς τὰς τῶν θεῶν ἐν τοῖς χρησμοῖς φωνὰς, Θρᾴττης υἱὸς ἦν, καὶ ἐκαλεῖτο ἡ μήτηρ αὐτῦ 3) Ἀβρότονος. Φωκίων δὲ, ὁ χρηστὸς ἐπικληθεὶς, πατρὸς μὲν δοίδυκας ἐργαζομένε ἦν. Δημήτριον δὲ τὸν Φαληρέα οἰκότριβα γενέσθαι λέγεσιν ἐκ τῆς οἰκίας Τιμοθέε καὶ Κόνωνος. Ὑπερβόλε δὲ, καὶ Κλεοφῶντος, καὶ Δημάδε, καί τοι προσατῶν γενομένων τῦ δήμε τῶν Ἀθηναίων, εὐδεὶς ἂν εἴποι ῥᾳδίως τὰς πατέρας. Καλλικρατίδας γε μὴν, καὶ Γύλιππος, καὶ Λύσανδρος ἐν Λακεδαιμονίοις μόθακες ἐκαλῦντο. ὄνομα δὲ ἦν ἄρα τῦτο τοῖς τῶν εὐπόρων, ὃς συνεισέπεμπον αὐτοῖς οἱ πατέρες συναγωνισμένες ἐν τοῖς γυμνασίοις. ὁ δὲ συγ-

1) Ἀερόπε. 2) ἦν Πολυσπέρχης δὲ ἐλ. 3) Ἀβρότονον.

συγχωρήσας τῦτο Λυκῦργος, τοῖς ἐμμένασι τῇ τῶν παίδων ἀγωγῇ πολιτείας Λακωνικῆς μεταλαγχάνει. καὶ Ἐπαμινώνδας δὲ πατρὸς ἦν ἀφανῦς.

Κλέων δὲ ὁ Σικυωνίων τύραννος, καταποντισθεὶς ἦν.

Κεφ. μδ'.

Περὶ τῶν ἐν λιθοτομίαις τῆς Σικελίας πολὺν χρόνον διατριψάντων.

Αἱ ἐν Σικελίᾳ λιθοτομίαι περὶ τὰς Ἐπιπολὰς ἦσαν σταδίε μῆκος, τὸ εὖρος δύο πλέθρων. ἦσαν δὲ ἐν αὐτῷ τῷ χρόνῳ τοσῦτον διατρίψαντες ἄνθρωποι, ὡς καὶ γεγαμηκέναι ἐκεῖ, καὶ παιδοποιῆσαι. καί τινες τῶν παίδων ἐκείνων, μηδεπώποτε πόλιν ἰδόντες, ὅτε εἰς Συρακόσας ἦλθον, καὶ εἶδον ἵππες ὑπεζευγμένες, 1) ἔφευγον βοῶντες. ἔτως ἄρα ἐξεπλάγησαν. τὸ δὲ κάλλιστον τῶν ἐκεῖ σπηλαίων ἐπώνυμον ἦν Φιλοξένε τῦ ποιητῦ, ἐν ᾧ φασι διατρίβων τὸν Κύκλωπα ἐργάσασθαι, τῶν ἑαυτῦ μελῶν τὸ κάλλιστον· παρ' ἐδὲν θέμενος τὴν ἐκ Διονυσίε τιμωρίαν, καὶ καταδίκην, ἀλλ' ἐν αὐτῇ τῇ συμφορᾷ 2) μεσεργεῖ ὁ Φιλόξενος.

Κεφ.

1) καὶ βόας ἐλαυνομένες, ἔφ. β. 2) μεσεργῶν ὁ Φ.

Κεφ. μέ.

Περὶ Μίδε, Πλάτωνος, καὶ Πινδάρε, νηπίων.

Φρύγιοι καὶ ταῦτα ἄδεσι λόγοι. Μίδε τε Φρυγὸς ἔτι νηπίε καθευδόντος, μύρμηκας εἰσέρπειν εἰς τὸ στόμα, καὶ πάνυ φιλοπόνως καὶ φιλέργως εἰσφέρειν τὰς πυρούς. Πλάτωνος δὲ μελίτλας εἰς τὸ στόμα κηρίον ἐργάζεσθαι. καὶ Πινδάρῳ τῆς πατρῴας οἰκίας ἐκτεθέντι μέλιτλαι τροφοὶ ἐγένοντο, ὑπὲρ τὰ χάλκεια [1]παρατεθεῖσαι μέλι.

Κεφ. μϛ'.

Περὶ σημείε μοναρχίαν τῷ Διονυσίῳ δηλώσαντος.

Διονύσιον δὲ τὸν Ἑρμοκράτες λέγεσι ποταμὸν διαβαίνειν· ἔφερε δὲ αὐτὸν ἵππος, καὶ ὁ μὲν ἵππος κατὰ τὸ τέλματος [2]ὠλίσθανεν· ὁ δὲ ἀποπηδήσας, τῆς ὄχθης ἐλάβετο, καὶ ἀπῆει, ὡς ἐκ ἔτι τὸν ἵππον ὄντα αὐτῷ ἀπολιπών. ὁ δὲ ἠκολούθησε, καὶ [3]χρεμπίσαντος ὑπέστρεψεν αὐτὸν, καὶ ἐκεῖνος ἐλάβετο αὐτῷ τῆς χαίτης, καὶ ἔμελλεν ἀναβαίνειν, καὶ τῇ χειρὶ αὐτῷ περιπίπτει μελιτ-

1) παρατιθ. 2) ὠλίσθανεν. 3) χρεμετίσας.

μελιτῶν πλῆθος. ἔφασαν δὲ οἱ Γαλεῶται πρὸς τὸν Διονύσιον ἐρόμενον ὑπὲρ τέτων, ὅτι ταῦτα μοναρχίαν δηλοῖ.

Κεφ. μζ'.

Περὶ Ἀρισομάχης, Δίωνος γυναικός.

Διονύσιος ἐλαύνει τῆς Σικελίας Δίωνα, τὴν δὲ γυναῖκα αὐτῷ Ἀρισομάχην καὶ τὸν ἐξ αὐτῷ παῖδα ἐφύλαττεν. ὕστερον δὲ τὴν γυναῖκα ἄκουσαν δορυφόρῳ αὐτῷ πάντων μάλιστα θεραπευτῇ Πολυκράτει γυναῖκα δίδωσι, Συρακόσιος δὲ τὸ γένος ἦν. Δίων δὲ παραλαβὼν Συρακόσας, ἀποδράντος εἰς Λοκροὺς Διονυσίε, ἐνταῦθα ἡ μὲν Ἀρήτη ἡ τῷ Δίωνος ἀδελφὴ προσεῖπεν αὐτόν. ἡ δὲ Ἀρισομάχη εἵπετο δι' αἰδῶς ἐγκαλυπτομένη, καὶ ἃ τολμῶσα προσειπεῖν ὡς ἄνδρα, ἐπεὶ βιαθεῖσα τὸν θεσμὸν τῆς πρὸς αὐτὸν εὐνῆς ἃ διεφύλαξεν. ἐπεὶ δὲ ὑπὲρ αὐτῆς ἀπελογήσατο ἡ Ἀρήτη, τὴν ἐκ τῷ Διονυσίε ἀνάγκην καταλέξασα, ὁ Δίων προσηγάγετο τὴν γυναῖκα καὶ τὸν παῖδα, καὶ εἰς τὴν οἰκίαν ἔπεμψεν.

Κεφ.

Κεφ. μή.

Περὶ τῶν Ὁμήρε ποιημάτων.

Ὅτι Ἰνδοὶ τῇ παρὰ σφίσιν ἐπιχωρίῳ φωνῇ τὰ Ὁμήρε μεταγράψαντες ἄδεσιν ἃ μόνοι, ἀλλὰ καὶ οἱ Περσῶν βασιλεῖς, εἴ τι χρὴ πιστεύειν τοῖς ὑπὲρ τέτων ἱστορεῦσι.

Κεφ. μθ'.

Ὅτι ἀμνησίκακος ὁ Φωκίων.

Φωκίων ὁ τῆ Φώκε, πολλάκις στρατηγήσας, κατεγνώσθη θανάτῳ, καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔμελλε πιεῖσθαι τὸ κώνειον. ἐπεὶ δὲ ὤρεξεν ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο, εἴ τι λέγοι πρὸς τὸν υἱόν; ὁ δὲ, ἐπισκήπτω αὐτῷ, μηδὲν Ἀθηναίοις μνησικακήσειν ὑπὲρ τῆς παρ' αὐτῶν φιλοτησίας, ἧς νῦν πίνω. ὅς τις δὲ ἐκ ἐπαινεῖ καὶ ὑπερθαυμάζει τὸν ἄνδρα, δοκεῖ μοι μέγα ὁ τοιῆτος ἐννοεῖν ἐδέν.

Κεφ. ν'.

Περὶ Λακεδαιμονίων μὴ ἐσπεδασμένως περὶ παιδείας ἐχόντων.

Λακεδαιμόνιοι μεσικῆς ἀπείρως εἶχον. ἔμελε γὰρ αὐτοῖς γυμνασίων, καὶ ὅπλων.

εἰ δέ ποτε ἐδεήθησαν τῆς ἐν Μεσσῆνη ἐπικερίας, ἢ νοσήσαντες, ἢ παραφρονήσαντες, ἢ ἄλλο τι τοιῆτον δημοσίᾳ παθόντες, μετεπέμποντο ξένες ἄνδρας, οἷον ἰατρεὺς, ἢ κατὰ Πυθόχρησιν. μετεπέμψαντό γε μὴν Τέρπανδρον, καὶ Θάλητα, καὶ Τυρταῖον, καὶ τὸν Κυδωνιάτην Νυμφαῖον, καὶ Ἀλκμᾶνα, 1) αὐλῳδὸς γὰρ ἦν. καὶ Θεκυδίδης δὲ ὁμολογεῖ, ὅτι μὴ ἐσπεδασμένως περὶ παιδείας εἶχον, ἐν οἷς λέγει περὶ Βρασίδε. λέγει γᾶν, ὅτι ἦν ἀδύνατος εἰπεῖν ὡς Λακεδαιμόνιος, οἷον ὡς ἂν ἰδιώτης.

Κεφ. να.

Περὶ τῆ τύφε Μενεκράτες, καὶ πῶς ὁ Φίλιππος ἐγέλασεν αὐτόν.

Μενεκράτης ὁ ἰατρὸς εἰς τοσῆτον προῆλθε τύφε, ὥσε ἑαυτὸν ὀνομάζειν Δία. ἀπέστειλε δέ ποτε ἐπιστολὴν Φιλίππῳ τῷ Μακεδόνων βασιλεῖ τοιαύτην· Φιλίππῳ Μενεκράτης ὁ Ζεὺς εὖ πράττειν. ἀντέγραψε δὲ καὶ ὁ Φίλιππος· Φιλίππος Μενεκράτει ὑγιαίνειν. συμβελεύω σοι προσάγειν σεαυτὸν ἐπὶ τοῖς κατὰ Ἀντίκυραν τόποις. ἠνίχθετο δὲ ἄρα διὰ τέτων, ὅτι παραφρονεῖ ὁ ἀνήρ.

Εἰσίαι

1) αὐλῳδὸς.

Εἰσίρα ποτὲ μεγαλοπρεπῶς ὁ Φίλιππος, καὶ δὴ καὶ τέτον ἐπὶ θοίνην ἐκάλεσε, καὶ ἰδίᾳ κλίνην αὐτῷ ἐκέλευσε παρεσκευάσθαι. καὶ κατακλιθέντι θυμιατήριον παρέθηκε, καὶ ἐθυμιᾶτο αὐτῷ. οἱ δὲ λοιποὶ εἰσιῶντο, καὶ ἦν μεγαλοπρεπὲς τὸ δεῖπνον. ὁ τοίνυν Μενεκράτης τὰ μὲν πρῶτα ἐνεκαρτέρει, καὶ ἔχαιρε τῇ τιμῇ. ἐπεὶ δὲ κατὰ μικρὸν ὁ λιμὸς περιῆλθεν αὐτῷ, καὶ ἠλέγχετο ὅτι ἦν ἄνθρωπος, καὶ ταῦτα εὐήθης, ἐξαναστὰς ἀπιὼν ᾤχετο, καὶ ἔλεγεν ὑβρίσθαι, ἐμμελῶς πάνυ τῷ Φιλίππῳ τὴν ἄνοιαν αὐτῷ ἐγκαλύψαντος.

Κεφ. νβ'.

Τίσι τὰς Ἀθήνας εἴκασεν ὁ Ἰσοκράτης.

Ἰσοκράτης ὁ ῥήτωρ ἔλεγεν ὑπὲρ τῆς Ἀθηναίων πόλεως, ὁμοίαν εἶναι ταῖς ἑταίραις. καὶ γὰρ ἐκείνας, τὰς ἁλισκομένας ὑπὸ τῆς ὥρας αὐτῶν βέλεσθαι συνεῖναι αὐταῖς, ὅμως δὲ μηδένα εὐτελῶς ἔτω περιφρονεῖν, ὡς ὑπομείναι ἂν συνοικῆσαί τινι αὐτῶν. καὶ ἦν καὶ τὴν Ἀθηναίων πόλιν ἐνεπιδημῆσαι μὲν εἶναι ἡδίστην, καὶ κατά γε τοῦτο πασῶν τῶν κατὰ τὴν Ἑλλάδα διαφέρειν· ἐνοικῆσαι δὲ, ἀσφαλῆ μηκέτι εἶναι. ἠνίττετο δὲ διὰ τούτων τὰς ἐπιχωριάζοντας αὐτῇ συκοφάντας, καὶ τὰς ἐκ τῶν δημαγωγούντων ἐπιβολάς.

Κεφ. νγ'.

Περὶ τῶν τῶν μεγίστων πολέμων προφάσεων.

Ἐμὲ δὲ ἐ λέληθεν, ὅτι τῶν μεγίστων πολέμων αἱ ἀρχαὶ δοκοῦσί πως εὐκαταφρόνητοι γεγονέναι. τὸν μὲν γὰρ Περσικὸν ἐκ τῆς Μαιανδρίδος τοῦ Σαμίου πρὸς Ἀθηναίους διαφορᾶς τὴν ἀρχὴν λαβεῖν φασι· τὸν γε μὴν Πελοποννήσιον διὰ τὸ Μεγαρέων πινάκιον. τὸν δὲ ἱερὸν καλούμενον, ἐκ τῆς εἰσπράξεως τῶν δικῶν τῶν Ἀμφικτυόνων· τὸν δὲ κατὰ Χαιρώνειαν, Φιλονεικησάντων Ἀθηναίων πρὸς Φίλιππον, καὶ λαβεῖν ἐ θελησάντων.

Κεφ. νδ'.

Πῶς ὁ Ἀριστοτέλης Ἀλέξανδρον ὀργιζόμενον πραΰναι ἐπείρασεν.

Ἀλέξανδρον Ἀριστοτέλης ὀργιζόμενον πραΰναι βελόμενος, καὶ παῦσαι χαλεπαίνοντα πολλὰ, ταυτὶ πρὸς αὐτὸν γέγραφεν.

γραφεν. Ὁ θυμὸς καὶ ἡ ὀργὴ, ἐπὶ πρὸς ἴσας, ἀλλὰ πρὸς τὰς κρείττονας γίνεται, σοὶ δὲ ἀδεὶς ἴσος.

Ἀριστοτέλης τὰ δέοντα συμβεβλεύων Ἀλεξάνδρῳ, πολλοῖς ὠφέλιμος γέγονεν, ἐξ ὧν καὶ τὴν πατρίδα κατῴκισε κατεσκαμμένην ὑπὸ Φιλίππου.

Κεφ. νέ.

Περὶ τῶν παρὰ Λίβυσιν 1) ὑπὸ τῶν ἐλεφάντων, ἢ ἐν ταῖς θήραις, ἢ ἐν ταῖς μάχαις ἀποθανόντων.

Τὰς ὑπὸ τῶν ἐλεφάντων, ἢ ἐν ταῖς θήραις, ἢ ἐν ταῖς μάχαις ἀποθανόντας οἱ Λίβυες θάπτουσι διαπρεπῶς, καὶ ὕμνους τινὰς ἄδουσιν. ἔστι δὲ τοῖς ὕμνοις ἡ ὑποθήκη ἐκείνη· ἀγαθὰς ἄνδρας εἶναι 2) λέγει τὰς ἀντιπάλους γενομένους θηρίῳ τοσούτῳ. λέγει γὰρ καὶ τὸ ἐνδόξως ἀποθανεῖν ἐντάφιον εἶναι τῷ θαπτομένῳ.

Κεφ. νϛ.

Τί ἔλεγεν ὁ Διογένης περὶ Μεγαρέων.

Διογένης ὁ Σινωπεὺς ἔλεγε πολλὰ, τὴν ἀμαθίαν καὶ τὴν ἀπαιδευσίαν τῶν Μεγα-

1) ἢ ὑ. 2) λέγουσα τ. ἀ.

Μεγαρέων διαβάλλων, καὶ ἐβέλετο Μεγαρέως ἀνδρὸς κριὸς εἶναι μᾶλλον, ἢ υἱός. ἠνίττετο δὲ, ὅτι τῶν θρεμμάτων ποιῦνται πρόνοιαν οἱ Μεγαρεῖς, τῶν παίδων δὲ ἐχί.

Κεφ. νζ'.

Περὶ τεράτων τοῖς Θηβαίοις προφαινομένων, Ἀλεξάνδρου ἐπ' αὐτοὺς τὴν δύναμιν ἄγοντος.

Ἡνίκα Ἀλέξανδρος ὁ Φιλίππου ἐπὶ τὰς Θήβας ἦγε τὴν δύναμιν, οἱ μὲν θεοὶ σημεῖα αὐτοῖς καὶ τέρατα ἀπέσειλον, προσημαίνοντες τὰς περὶ αὐτῶν ὅσον ἐδέπω τύχας. οἱ δὲ, ὡς ᾤοντο ἐν Ἰλλυριοῖς Ἀλέξανδρον τεθνάναι, πολλὰ καὶ βλάσφημα εἰς αὐτὸν ἀπερρίπτουν. ἡ μὲν γὰρ ἐν Ὀγχηστῷ λίμνη Φοβερὸν ἦχον ἀνέδωκε, καὶ συνεχῆ, καὶ 1) τὰ ὁρμήματα ἐώκει· ἡ δὲ περὶ τὸν Ἰσμηνὸν καὶ αὐτὰ τὰ τείχη ῥέουσα κρήνη, καλουμένη Δίρκη, καθαρῷ καὶ ἡδεῖ ῥέουσα ὕδατι παρὰ πάντα τὸν πρόσθεν χρόνον, ἄφνω καὶ παρ' ἐλπίδα αἵματος ἀνεπλήσθη. Μακεδόσι δὲ ἐπίζευον Θηβαῖοι ἀπειλεῖν τὸ δαιμόνιον.

1) ταύρε μυκήματι ἐ.

Ἐν δὲ τῷ κατὰ πόλιν ναῷ τῆς Δήμητρος ἀράχνη κατὰ τὸ πρόσωπο τὸ ἀγάλματος ἐξύφαινε τὴν ἑαυτῆς τέχνην, καὶ τὸν ἱστὸν, ὃν εἴωθεν ἐργάζεσθαι. τὸ δὲ τῆς Ἀθηνᾶς, τῆς καλομένης Ἀλαλκομενηίδος, ἄγαλμα αὐτομάτως κατεφλέχθη, πυρὸς μὴ προσαχθέντος, καὶ ἄλλα πολλά.

Κεφ. νή.

Περὶ Διωξίππε.

Διώξιππος Ὀλυμπιονίκης ἀθλητὴς ὁ Ἀθηναῖος, εἰσήλαυνεν εἰς τὰς Ἀθήνας κατὰ τὸν νόμον τῶν ἀθλητῶν. συνέρρει τοίνυν τὰ πλήθη, καὶ ἄλλος ἀλλαχόθεν ἐκκρεμαννύμενος ἐθεῶντο αὐτόν. ἐν δὲ τοῖς καὶ γυνὴ κάλλει διαπρέπουσα ἀπήντησε τῇ θέᾳ. ἰδὼν δὲ αὐτὴν ὁ Διώξιππος, παραχρῆμα ἠτλήθη τὸ κάλλος, καὶ διετέλεσεν ἀποβλέπων τὴν ἄνθρωπον, καὶ ἐπιστρεφόμενος, καὶ εἰς πολλὰς τὸ πρόσωπον ἀλλάττων χροιάς. ἐκ δὴ τούτων πολλοῖς ἐγένετο καταφορος, μὴ ἀργῶς ἰδὼν τὴν ἄνθρωπον. μάλισα δὲ (δι᾽) αὐτὸ τὸ πάθος 1) κατέγνω. χρυσῶν κάτοπτρον Κορινθιουργὲς ἐπιπρά σκετο Διογένης ὁ Σινωπεύς. καὶ πρὸς τὸν πλησίον, ὁρᾶτε (εἶπε) τὸν ἀθλητὴν ὑμῶν τὸν μέγαν ὑπὸ παιδίσκης ἑκτεαχνιζόμενον.

1) κ. (διὰ) χρ. κ. Κ. (ὃ) ἐ. Δ.

Κεφ. νθ'.

Περὶ ἀληθείας καὶ εὐεργεσίας.

Πυθαγόρας ἔλεγε, δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό, τε ἀληθεύειν, καὶ τὸ εὐεργετεῖν. καὶ προσετίθη, ὅτι καὶ ἔοικε τοῖς θεῶν ἔργοις ἑκάτερον.

Κεφ. ξ'.

Περὶ Διονυσίε καὶ Φιλίππε.

Συνουσία ποτὲ ἐγένετο Διονυσίῳ τῷ δευτέρῳ, καὶ Φιλίππῳ τῷ Ἀμύντε. πολλοὶ μὲν ἦν, ὡς εἰκὸς, καὶ ἄλλοι λόγοι ἐπέδραμον, ἐν δὲ τοῖς καὶ ἐκεῖνο. ἤρετο ὁ Φίλιππος τὸν Διονύσιον, πῶς τοσαύτην παρὰ τοῦ πατρὸς λαβὼν ἀρχὴν, εἶτα ἀπεσώσατο αὐτήν. ὁ δὲ ἀπεκρίνατο ἐκ ἔξω μέλες, ὅτι τὰ μὲν ἄλλα μοι κατέλιπεν ὁ πατὴρ· τὴν δὲ τύχην, ἣ ταῦτα ἐκτήσατο καὶ διεφύλαξεν, ἐκ ἔτι.

Κεφ. ξά.

Περὶ Βορρᾶ ἀνέμου τιμᾶς.

Θρῃοις ἐπέπλει Διονύσιος, καὶ τριακοσίας ἦγεν ἐπ' αὐτὸὺς ναῦς ὁπλιτῶν πεπληρωμένας. Βορρᾶς δὲ ἀνίπνευσας τὰ σκάφη συνέτριψε, καὶ τὴν δύναμιν 1) αὐτῦ τὴν ναυτικὴν ἠφάνισεν. ἐκ δὴ τέτων οἱ Θρῃοι τῷ Βορρᾷ ἔθυσαν, καὶ ἐψηφίσαντο εἶναι τὸν ἄνεμον πολίτην. καὶ οἰκίαν αὐτῷ, καὶ κλῆρον ἀπεκλήρωσαν, καὶ καθ' ἕκαστον ἔτος ἐπετέλεν αὐτῷ. ἔκεν Ἀθηναῖοι μόνοι κηδεσὴν αὐτὸν ἐνόμιζον, ἀλλὰ καὶ Θρῃοι εὐεργέτην αὐτὸν ἐπέγραψαν. Παυσανίας δέ φησιν, ὅτι καὶ Μεγαλοπολῖται.

Κεφ. ξβ'.

Νόμος Περσικὸς περὶ τῶν συμβουλευόντων τῷ βασιλεῖ.

Νόμος καὶ ἔτος Περσικός. ἐάν τις μέλλῃ τι τῶν ἀποῤῥητοτέρων καὶ τῶν ἀμφιλόγων συμβουλεύειν βασιλεῖ, ἐπὶ πλίνθε χρυσῆς ἑστηκε· καὶ ἐὰν δόξῃ παραινεῖν τὰ δέοντα, τὴν πλίνθον λαβὼν ὑπὲρ τῆς συμβουλῆς μισθὸν ἀπέρχεται. μαστιγῶται δὲ ὅμως, ὅτι ἀντεῖπε βασιλεῖ. ἀνδρὶ δὲ ἐλευ-

1) αὐτῶν.

θέρῳ, κατά γε τὴν ἐμὴν κρίσιν, 1) ἢ κατ' ἀξίαν ἀντικρίνειν δεῖ ὑπὲρ τῦ μισθῦ τὴν ὕβριν.

Κεφ. ξγ'.

Περὶ Ἀρχεδίκης ἑταίρας.

Ἀρχεδίκης τις ἠράσθη τῆς ἐν Ναυκράτει ἑταίρας. ἡ δὲ [ἦν] ὑπερήφανος, καὶ δεινῶς Φορτικὴ, καὶ ἀδρὰς ἤτει μισθὸς, καὶ λαβοῦσα πρὸς ὀλίγον 2) ἀπαμίλησε τῷ δόντι, εἶτα ἀπέκλινεν. ἐραθεὶς δὲ ὁ νεανίσκος αὐτῆς, καὶ τυχεῖν μὴ δυνάμενος, ἐπεὶ μὴ πάνυ ἦν πλέσιος, ἔναρ αὐτῇ συνεγένετο, καὶ παραχρῆμα ἐπαύσατο τῆς ἐπιθυμίας.

Κεφ. ξδ'.

Περὶ τῦ Ἀλεξάνδρε νεκρῦ.

Ὁ μὲν Φιλίππε καὶ Ὀλυμπιάδος Ἀλέξανδρος, ἐν Βαβυλῶνι τὸν βίον καταστρέψας, νεκρὸς ἔκειτο, ὁ τῦ Διὸς εἶναι λέγων. καὶ στασιαζόντων περὶ τῆς βασιλείας τῶν περὶ αὐτὸν, ταφῆς ἄμοιρος ἦν, ἣς μεταλαγχάνουσι καὶ οἱ σφόδρα πένητες, τῆς Φύσεως τῆς κοινῆς ἀπαιτέσης τὸν μηκέτι ζῶντα κατακρύψαι· ἀλλ' ἔτός γε τριάκοντα ἡμέρας καθελέλειπτο ἀκηδὴς, ἕως Ἀρι-

1) ἐν ἀνταξίαν. 2) ἂν ὡμίλησε.

σανδρος ὁ Τελμισσεὺς, θεόληπτος γενόμενος, ἢ ἔκ τινος ἄλλης συντυχίας καταχεθεὶς, ἦλθεν εἰς μέσους τοὺς Μακεδόνας, καὶ πρὸς αὐτοὺς ἔφη, τὸν πάντων τῶν ἐξ αἰῶνος βασιλέων εὐδαιμονέστατον Ἀλέξανδρον γεγονέναι, καὶ ζῶντα, καὶ ἀποθανόντα. λέγειν ἄρα τοὺς θεοὺς πρὸς αὐτὸν, ὅτι ἄρα ἡ ὑποδεξαμένη γῆ τὸ σῶμα, ἐν ᾧ τὸ πρῶτον ᾤκησεν ἡ ἐκείνου ψυχὴ, πανευδαίμων τε ἔσαι, καὶ ἀπόρθητος δι' αἰῶνος. ταῦτα μαθόντες πολλὴν εἰσεφέροντο φιλονεικίαν, ἕκαστος εἰς τὴν ἰδίαν αὐτοῦ βασιλείαν, τὸ ἀγώγιμον τοῦτο ἄγειν ἐπιθυμῶν, ἵνα κεκμήλιον ἔχῃ, βασιλείας ἀσφαλοῦς καὶ ἀκλινοῦς ὅμηρον. Πτολεμαῖος δὲ, εἴ τι χρὴ πιστεύειν, τὸ σῶμα ἐξεκάλυψε, καὶ μετὰ σπουδῆς εἰς τὴν Ἀλεξάνδρου πόλιν τὴν κατ' Αἴγυπτον ἐκόμισε. καὶ οἱ μὲν ἄλλοι Μακεδόνες τὴν ἡσυχίαν ἦγον, Περδίκκας δὲ αὐτὸν διώκειν ἐπεχείρησεν. ἀ τοσοῦτον δὲ ἔμελε τούτῳ τῆς εἰς Ἀλέξανδρον πολυωρίας, καὶ τῆς εἰς τὸν νεκρὸν ὁσίας, ὅσον τὰ προλεχθέντα ὑπὸ τοῦ Ἀριστάνδρου ἀνέφλεγεν αὐτὸν, καὶ ἐξῆπλεν. ἐπεὶ δὲ κατέλαβε τὸν Πτολεμαῖον, ὑπὲρ τοῦ νεκροῦ μάχη καρτερὰ πάνυ σφόδρα ἐγένετο, ἀδελφὴ τρόπον τινὰ

τινὰ τῆς ὑπὲρ τοῦ εἰδώλου 1) τῆς ἐν Τροίᾳ, ὅπερ Ὅμηρος ᾄδει, λέγων, ὑπὲρ Αἰνείου τὸν Ἀπόλλωνα εἰς μέσους ἐμβαλεῖν τοὺς ἥρωας. ἀνέσειλε δὲ τὴν ὁρμὴν τοῦ Περδίκκα ὁ Πτολεμαῖος. εἴδωλον γὰρ πομπάμενος ὅμοιον Ἀλεξάνδρῳ, κατεκόσμησεν ἐσθῆτι βασιλικῇ, καὶ ἐνταφίοις ἀξιοζήλοις. εἶτα τοῦτο ἀναπαύσας ἐπὶ μίαν τῶν Περσικῶν ἁμαξῶν, τὸ ἐπ' αὐτῆς κατεσκεύασε φέρετρον μεγαλοπρεπῶς ἀργύρῳ, καὶ χρυσῷ, καὶ ἐλέφαντι. καὶ τὸ μὲν ὄντως Ἀλεξάνδρου σῶμα λιτῶς καὶ ὡς ἔτυχε πρὸς πεμψε κρυπτοῖς ὁδοῖς, καὶ ἀτρίπτοις. ὁ δὲ Περδίκκας καταλαβὼν τὸ τοῦ νεκροῦ φάσμα, καὶ τὴν διασκευασθεῖσαν ἁρμάμαξαν, ἀνεσάλπι τοῦ δρόμου, οἰόμενος ἔχειν τὸ ἆθλον. ὑφ' ὧν δὲ ἔμαθεν ἀπατηθεὶς, ἡνίκα διώκειν ἐκ εἶχε,

1) τοῦ ἐν Τ.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

Κεφάλαιον α'.

Περὶ Ἀταλάντης.

Λόγος ἔτος Ἀρκαδικὸς ὑπὲρ τῆς Ἰασίου Ἀταλάντης. ταύτην ὁ πατὴρ γενομένην ἐξέθηκεν. ἔλεγε γὰρ, ἢ θυγατέρων, ἀλλ' ἀρρένων δεῖσθαι. ὁ δὲ ἐκθεῖναι λαβὼν, ἐκ ἀπέκτεινεν, ἐλθὼν δὲ ἐπὶ τὸ Παρθένιον ὄρος, ἔθηκε πηγῆς πλησίον. καὶ ἦν ἐνταῦθα ὕπαυτρος πέτρα, καὶ ἐπέκειτο συνηρεφὴς δρυμῶν. καὶ τὸ μὲν βρέφος κατεψήφισο θάνατος. ἃ μὴν ὑπὸ τῆς τύχης προυδόθη. ὀλίγῳ γὰρ ὕστερον ὑπὸ κυνηγετῶν ἀφηρημένη τὰ ἑαυτῆς βρέφη ἄρκτος ἦκε, σφριγάτων αὐτῇ τῶν μαζῶν, καὶ βαρυνομένων ὑπὸ τοῦ γάλακτος. εἶτα κατά τινα θείαν πομπὴν ἡθεῖσα τῷ βρέφει, ἐθήλασεν αὐτό· καὶ ἅμα τὸ θηρίον ἐκφοίθη τῆς ὀδύνης, καὶ ὤρεξε τροφὴν τῷ βρέφει· καὶ ἓν καὶ αὖθις ἐπαν-

ἐπαντλῆσα τοῦ γάλακτος, καὶ ἐποχετεύσα, (καὶ) ἐπεὶ τῶν ἑαυτῆς μήτηρ οὐκ ἔμεινε, τῆς μηδὲν οἰ προσηκούσης τροφὸς ἐγένετο. ταύτην οἱ κυνηγέται παρεφύλαττον, καὶ οἱ ἐξ ἀρχῆς ἐπιβουλεύσαντες τῷ θηρίῳ εἰς τὰ ἔκγονα αὐτῆς. καὶ αὐτὰ ἔκαιον τῶν δρυμῶν κατασκεψάμενοι, ἀπελθόντος κατὰ συνήθειαν κατά γε ἄγραν καὶ νομὴν τῆς ἄρκτου, τὴν Ἀταλάντην ὑφείλοντο, καλουμένην τοῦτο ἐκεῖνο. αὐτοὶ γὰρ ἔθεντο αὐτῇ τὸ ὄνομα. καὶ ἐτρέφετο ἐν αὐτοῖς ἐν ὀρείῳ τῇ τροφῇ. κατὰ μικρὸν δὲ αὐτῇ τὰ τοῦ σώματος μετὰ τῆς ἡλικίας ἀνέτρεχε, καὶ ἥρα παρθενίας· καὶ τὰς τῶν ἀνδρῶν ὁμιλίας ἔφευγε, καὶ ἐρημίαν ἐπόθει, καταλαβοῦσα τῶν ὀρῶν τῶν Ἀρκαδικῶν τὰ ὑψηλότατα. ἔνθα ἦν καὶ αὐλῶν κατάρρυτος, καὶ μεγάλαι δρῦς, ἔτι δὲ καὶ πνεῦμα, καὶ βαθεῖά τις ὕλη. τί γὰρ ἡμᾶς λυπεῖ, καὶ ἄντρον Ἀταλάντης εἰκάσαι, ὡς τὸ τῆς Καλυψοῦς τὸ ἐν Ὁμήρῳ; καὶ ἦν ἐν κοίλῃ τῇ Φαιαγγι σπήλαιον ἕν, καὶ βαθὺ πάνυ, κατὰ πρόσωπον δὲ βαθεῖ κρημνῷ ὠχύρωτο. κιττοὶ δὲ αὐτὸ περιεῖρπον, καὶ ἐνεπλέκοντο οἱ κιττοὶ μαλακοῖς δένδρεσι, καὶ δι' αὐτῶν ἀνεῖρπον. κρόκαι τε ἦσαν περὶ τὸν τόπον,

ἐν μαλακῇ φυόμενοι καὶ βαθείᾳ τῇ 1) ὕλῃ. συνανέτελλε δὲ αὐτοῖς καὶ ὑάκινθος, καὶ ἄλλη πολλὴ χροιὰ ἀνθέων, ἃ μόνον εἰς ἑορτὴν ὄψεως συντελεῖν δυναμένων, ἀλλὰ καὶ ὀσμαὶ ἐξ αὐτῶν τὸν ἀέρα τὸν κύκλῳ κατελάμβανον. καὶ παρῆν τῇ τε ἄλλῃ πανηγυρίζειν, καὶ κατὰ τὴν εὐωδίαν ἑσιᾶσθαι. δάφναι τε ἦσαν πολλαὶ, φυτᾶ διὰ τέλεος ἀκμάζοντος, ἡδὺ αἴρουσαι πρόσοδον κόμαι. καὶ ἄμπελοι δὲ πάνυ σφόδρα 2) εὐθενᾶντο βοτρύων, πρὸ τᾶ ἄντρα τεθηλυῖαι, τὸ φιλέργον τῆς Ἀταλάντης ἐπεδείκνυντο. ὕδατά τε διαυγῆ καὶ εἰσρέοντα, καὶ καθαρὰ ἰδεῖν, καὶ ψυχρὰ, ὅσον τε ἀψαμένῳ τεκμήραθαι, καὶ καταγωνίαι πιόντι, χύδην καὶ ἀφθόνως ἐπέρρει. τὰ δὲ αὐτὰ ταῦτα καὶ εἰς ἀρδείαν τοῖς δένδροις τοῖς προειρημένοις ἦν ἐπιτήδεια, συνεχῶς ἐπιῤῥέοντα, καὶ εἰς τὸ ἔμβιον αὐτοῖς συμμαχόμενα. ἦν δὲ τὸ χωρίον χαρίτων 3) ἅμα μεστὸν καὶ σεμνότατόν τε ἅμα καὶ σώφρονα παρθενῶνα ἐδείκνυεν. ἦν δὲ ἄρα τῇ Ἀταλάντῃ 4) στρωμναὶ μὲν αἱ δοραὶ τῶν τεθηραμένων, τροφὴ δὲ τὰ τέτων κρέα, ποτὸν τε τὸ ὕδωρ. στολὴν δὲ ἤθητο ἀπράγμονα, καὶ τοιαύτην, οἵαν μὴ ἀποδεῖν τῆς Ἀρτέμιδος. ἔλεγε γὰρ ζηλᾶν

1) πόα. 2) εὐθενέντων. 3) ἀναμέσον. 4) στρωμνή.

ζηλᾶν αὐτὴν καὶ ἐν τέτῳ, καὶ ἐν τῷ παρθένον εἶναι διὰ τέλεος ἐθέλειν. ἐπεφύκει δὲ ὠκίστη τὰς πόδας· καὶ ἐκ ἂν αὐτὴν διέφυγεν, ἅτε θηρίον, ἅτε ἐπιβελεύων αὐτῇ ἄνθρωπος· φυγᾶν ἐθέλσαν, ἀλλ' ἐνταῦθα μὲν ἐκ ἄν τις αὐτὴν κατέλαβεν. ἥρων δὲ αὐτῆς ἐχ ὅσοι μόνον αὐτὴν εἶδον, ἀλλ' ἤδη καὶ ἐκ φήμης ἠράτο. φέρε δὲ καὶ τὸ εἶδος αὐτῆς, εἴ τι μὴ λυπεῖ, διαγράψωμεν. λυπεῖ δὲ ἐδέν, ἐπεὶ καὶ ἐκ τέτων προσγένοιτ' ἂν λόγων τε ἐμπειρία καὶ τέχνη. μέγεθος μὲν γὰρ, ἔτι παῖς ἔσα, ὑπὲρ τὰς τελείας ἦν γυναῖκας, κάλλει δὲ ἦν, ὡς ἐκ ἄλλη τῶν ἐν Πελοποννήτῳ παρθένων τῶν τότε. ἀῤῥειωπὸν δὲ, καὶ γοργὸν ἔβλεπε. τᾶτο μὲν καὶ ἐκ τῆς 1) θηρίων τροφῆς, ἐπεὶ καὶ θυμοειδὴς ἦν, ἤδη δὲ καὶ τῶν ἐν τοῖς ὄρεσι γυμνασίων κορικόν τε καὶ ῥαδινὸν εἶδος εἶχεν. ἃ γὰρ ἐκ θαλάμε προῆει, εἶδε ἦν τῶν ὑπὸ μητράσι καὶ τίτθαις τρεφομένων. τὸ δὲ ὑπέρογκον τᾶ σώματος, εἶδε τᾶτο εἶχε· καὶ μάλα γε εἰκότως, ἅτε ἐν τοῖς κυνηγεσίοις, καὶ περὶ αὐτὰ τὰ γυμνάσια τὸ πᾶν σῶμα ἐκτελέσα.

1) θηρίε.

Ξανθὴ δὲ ἦν αὐτῆς ἡ κόμη ἔτι πε πολυπραγμοσύνη γυναικεία, καὶ βαφαῖς ἅμα, καὶ φαρμάκοις· ἀλλ' ἦν φύσεως ἔργον ἡ χροιά. πεφοίνικτο δὲ καὶ ὑπὸ τῶν ἡλίων αὐτῇ τὸ πρόσωπον, καὶ ἐρυθήματι ἐῴκει ἀντίκρυς. τί δὲ ἔτως ὡραῖον γένοιτο εἶδος, ὡσπερεὶ καλόν, ἢ τὸ πρόσωπον αἰδεῖσθαι πεπαιδευμένης παρθένε; δυο δὲ εἶχεν ἐκπληκτικά, κάλλος ἄμαχον, καὶ σὺν τούτῳ καὶ φοβεῖν ἐδύνατο. εἰδεὶς ἂν ἰδὼν αὐτὴν ἠράσθη ἐφθυμος ἄνθρωπος, ἀλλ' εὐθὺ ἂν ἐτόλμησεν ἀντιβλέπειν τὴν ἀρχήν. τοσαύτη μετὰ τῆς ὥρας κατέλαμπεν ἡ αἰγλη τὸς ὁρῶντας. δεινὴ δὲ ἦν ἐντυχεῖν τότε ἄλκα, καὶ τῷ σπανίῳ. ἐ γὰρ ἂν αὐτὴν τις εὐκόλως εἶδεὶς εἶδεν· ἀλλ' ἀδοκήτως καὶ ἀπροόπτως ἐπέφηνε, διάκοσα θηρίον, ἢ ἀμυνομένη 2) τινα, καὶ ὥσπερ ἀτὴρ διάτ|σσα ἐξέλαμπεν ἀτρεκῆς δίκην. εἶτα ἀπέκυπτεν αὐτὴν διαθέσαν ἢ δρυμὼν, ἢ λόχμη, ἢ τι ἄλλο τῶν ἐν ὄρει δάσος.

Καί οἱ ποτὲ (καὶ οἱ) τὴν ὅμορον γειτνιῶσαν οἰκοῦντες, μεσούσης τῆς νυκτὸς, ἐρασαὶ θρασεῖς, καὶ κωμασαὶ βαρύτατοι, δύο τῶν Κενταύρων, Ὑλαῖός τε, καὶ Ῥοῖκος, ἦν δὲ ἄρα ὁ κῶμος αὐτῶν, ἔτε αὐλητρίδες, ἔτε αὐτὰ δήπε

1) κ. ἢ τ. π. 2) τινὰ, ὥσπερ ἀτὴρ· δ. (δ') ἐ.

δήπε τὰ τῶν μειρακίων τῶν κατὰ πόλιν, ἀλλὰ πεῦκαι μὲν ἦσαν, καὶ ταύτας ἐξάψαντες καὶ ἀναφλέξαντες, ἐκ τῆς πρώτης τε πυρὸς φαντασίας ἐξέπληξαν ἂν καὶ δῆμον, μήτι γε μίαν παρθένον.

Κλάδας δὲ πιτύων νεοθρεπεῖς ἀποκλάσαντες, εἶτα τέτοις ἑαυτὲς διαπλέξαντες, εἰργάζοντο σεφάνες. συνεχῶς δὲ καὶ θαμινὰ ἐπιροτέντες τοῖς ὅπλοις διὰ τῶν ὀρῶν, συνεκκαίοντες καὶ τὰ δένδρα, ἐπὶ τὴν παῖδα ἔσπευδον, κακοὶ μνηστῆρες, σὺν ὕβρει καὶ 1) ἄντρῳ τα ἔδνα τῶν γάμων προεκτελέντες. τὴν δὲ οὐκ ἔλαθεν ἡ ἐπιβελή. ἰδοῦσα δὲ ἐκ τε ἄντρε τὸ πῦρ, καὶ γνωρίσασα, οἵ τινές ποτε ἄρα ἦσαν οἱ κωμασαὶ, μηδὲν διατραπεῖσα, μηδὲ ὑπὸ τῆς ὄψεως καταπτήξασα, τὸ μὲν τόξον ἐκύκλωσεν, ἀφῆκε δὲ τὸ βέλος, καὶ ἔτυχε τε πρώτε μαλα εὐκαίρως. καὶ ὁ μὲν ἔκειτο, ἐπεὶ δὲ ὁ δεύτερος οὐκ ἔτι κωμαστικῶς, ἀλλ' ἤδη πολεμικῶς, ἐκείνῳ μὲν ἐπαμῦναι θέλων, ἑαυτὸ δὲ ἐμπλῆσαι τὴν ὁρμήν. ἀπήντησε δὲ ἄρα καὶ τότῳ τιμωρὸς ὁ τῆς κόρης οἰκεῖος ὁ ἕτερος. καὶ ὑπὲρ τῆς Ἰασίωνος Ἀταλάντης τοσαῦτα.

1) (ἀτμῷ.)

Κεφ. Β'.

Πῶς ὁ Μακαρεὺς ὑπὲρ τῆς ἑαυτῦ ἀπηνείας ὑπὸ τῶν Θεῶν ἐτιμωρήθη.

Μιτυληναῖος ἀνὴρ, Μακαρεὺς ὄνομα, ἱερεὺς τῦ Διονύσυ, ὅσα μὲν ἔτος ἰδεῖν, πρᾶος ἦν καὶ ἐπιεικὴς, ἀνοσιώτατος δὲ ἀνθρώπων τὰ μάλιστα. ξένυ δὲ ἥκοντος παρ' αὐτὸν, καὶ δόντος αὐτῷ παρακαταθήκην χρυσίυ πλῆθος, ἐν τῷ μυχῷ τῦ ἀνακτόρυ, τὴν γῆν διασκάψας ὁ Μακαρεὺς, κατώρυξε τὸ χρυσίον. χρόνῳ δὲ ἀφικόμενος ὁ ξένος, τὸ χρυσίον ἀπῄτει. ὁ δὲ, εἰσαγαγὼν ἔνδον ὡς ἀποδώσων, καὶ ἐσθαζε, καὶ τὸ χρυσίον ἀνώρυξεν, αὐτὸ δὲ τὸν ξένον καὶ ἔθηκε καὶ ὤπτα, ὥσπερ τὰς ἀνθρώπυς, λανθάνειν ἔτω καὶ τὸν θεόν. πλὴν οὐκ ἀπήντησε ταῦτα ταύτῃ. πόθεν; χρόνυ δὲ ὀλίγυ διελθόντος, αἱ μὲν τῦ θεῦ τριετηρίδες ἀφίκοντο· ὁ δὲ ἔθυε μεγαλοπρεπῶς. καὶ ὁ μὲν περὶ τὴν βακχείαν εἶχεν, οἱ δὲ παῖδες αὐτῦ δύο ὄντες, εἰδον ἀπελείφθησαν ἐν τῇ οἰκίᾳ, καὶ μιμούμενοι τὴν τῦ πατρὸς ἱερωσύνην, τῷ βωμῷ τῷ παλαιῷ προσῆλθον, ἔτι καυμένων τῶν ἐμ-

πύρων.

πύρων. καὶ ὁ μὲν νεώτερος παρέχε τὸν τράχηλον· ὁ δὲ πρεσβύτερος ἠμελημένην εὑρὼν σφαγίδα, τὸν ἀδελφὸν ἀπέκτεινεν ὡς ἱερεῖον. οἱ δὲ κατὰ τὴν οἰκίαν, ἰδόντες ἀνεβόησαν. ἀκύσασα δὲ ἡ μήτηρ τῆς βοῆς ἐξεπήδησε, καὶ θεασαμένη τὸν μὲν νεκρὸν, τὸν δὲ κατέχοντα ἔτι τὴν σφαγίδα ἠμαγμένην, χίζαν ἁρπάσασα τῶν ἐκ τῦ βωμῦ ἡμίκαυτον, ταύτῃ τὸν παῖδα ἀπέκτεινεν. ἦκε δὲ ἀγγελία πρὸς τὸν Μακαρέα, καὶ ἀπολιπὼν τὴν τελετὴν, ὡς εἶχε, σὺν ὁρμῇ καὶ θυμῷ εἰσεπήδησεν εἰς τὴν οἰκίαν, καὶ τῷ θύρσῳ, ᾧ κατεῖχε, τὴν ἑαυτῦ γυναῖκα ἔκτεινεν. ἔκπυσα δὲ ἐγένοντο τὰ τολμηθέντα εἰς πάντας. καὶ συλληφθεὶς ὁ Μακαρεὺς καὶ τρεβλώμενος, ὡμολόγησεν, ὅσα ἐν τῷ ἀνακτόρῳ ἔδρασεν. ἐν αὐταῖς δὲ ταῖς κολάσεσι, τὴν ψυχὴν ἀπέρριξεν. ὁ δὲ παρανόμως σφαγεὶς, διὰ τιμῆς ἦλθε δημοσίᾳ, καὶ ἐτάφη, τῦ θεῦ προστάξαντος. ἔτισεν ἓν ὁ Μακαρεὺς ἃ μεμπτὴν τὴν δίκην, τῦτο δὴ τὸ ποιητικὸν, σὺν τῇ ἑαυτῦ κεφαλῇ, καὶ τῇ τῆς γυναικὸς, καὶ ἓν καὶ τῇ τῶν παίδων προσέτι.

Κεφ.

Κεφ. γ'.

Περὶ Βήλε μνήματος, καὶ καπῆ τῷ Ξέρξῃ σημείε ἐν τέτῳ προφαινομένε.

Ξέρξης ὁ Δαρείε παῖς, τῆ Βήλε τῆ ἀρχαίε διασκάψας τὸ μνῆμα, πύελον ὑελίνην εὗρεν, ἔνθα ην κείμενος ὁ νεκρὸς ἐν ἐλαίῳ. ἐ μὴν πεπλήρωτο ἡ πύελος, ἐνέδει δὲ ἀπὸ τῆ χείλες εἰς 1) παλαιστήν. παρέπεσε δὲ τῇ πυέλῳ καὶ σήλη βραχεῖα, ἔνθα ἐγέγραπτο, τῷ ἀνοίξαντι τὸ μνῆμα, καὶ μὴ ἀναπληρώσαντι τὴν πύελον, ὃκ ἔσιν ὄμενον. ἀναγνὸς δὲ ὁ Ξέρξης, ἔδεισε, καὶ προσέταξεν ἐπιχέαι ἔλαιον τὴν ταχίσην. ἐ μὴν πεπλήρωτο. ὁ δὲ πάλιν προσέταξεν ἐπιχέαι, αὔξησιν δὲ ἐκ ἐλάμβανεν, ἕως ἀπεῖπε μάτην ἀναλίσκων τὸ ἐπιχεόμενον. κατακλείσας δὲ ὀπίσω τὴν τάφον, ἀπῆλθεν ἀθημονῶν. ἐ διεψεύσατο δὲ ἡ σήλη, ὅσα προεῖπεν. ἀθροίσας γὰρ ἑβδομήκοντα μυριάδας ἐπὶ τὲς Ἕλληνας, κακῶς ἀπήλασεν· εἶτα ἐπανελθὼν, αἴσχισα ἀνθρώπων ἀπέθανεν. ἀποσφαγεὶς νύκτως ἐν τῇ εὐνῇ ὑπὸ τῆ υἱῆ.

Κεφ.

1) π. ἴσως.

Κεφ. δ'.

Περὶ Εὐριπίδε ἐν ἐξιάσει μεθυσθέντος.

Ἀρχέλαος ὁ Βασιλεὺς ἑξίασιν παρεσκεύασε πολυτελῆ τοῖς ἑταίροις.

Προϊόντος δὲ τῆ πότε, ζωρότερον πιὼν Εὐριπίδης ὑπήχθη πως κατ' ὀλίγον εἰς μέθην. εἶτα συγκλιθέντα αὐτῷ Ἀγάθωνα, τὸν τῆς τραγῳδίας ποιητὴν, περιλαβὼν κατεφίλει, τεσσαράκοντα ἐτῶν πε γεγονότα. τῆ δὲ Ἀρχελάε πυθομένε, εἰ καὶ νῦν ἔτι ἐρώμενος αὐτῷ δοκεῖ εἶναι, ἀπεκρίνατο, Νὴ μὰ Δία. ἐ γὰρ μόνον τὸ ἔαρ τῶν καλῶν κάλλιστον, ἀλλὰ καὶ τὸ μετόπωρον.

Κεφ. ε.

Τίς πρῶτον ἠράθη γενναίων παιδικῶν.

Ἐραθῆναι πρῶτον γενναίων παιδικῶν λέγεσι Λάϊον, ἁρπάσαντα Χρύσιππον τὸν Πέλοπος. καὶ ἐκ τέτε τοῖς Θηβαίοις ἐν τῶν καλῶν ἐδόκει τὸ τῶν ὡραίων ἐρᾶν.

Κεφ.

Κεφ. ε'.

Περὶ Ἀρκαδίας, Θασίων καὶ Ἀχαϊκῶν οἴνων ἰδιοτήτων.

Ἐν Ἡραίᾳ τῆς Ἀρκαδίας ἀνέω πεφυκέναι ἀμπέλους, ἐξ ὧν γίνεται οἶνος, ὃς τὸ λογισμὸν παράγει, καὶ ἔκφρονας τοὺς Ἀρκάδας ποιεῖ, τὰς δὲ γυναῖκας τεκνοποιοὺς τίθησιν.

Ὅτι ἐν Θάσῳ δύο γένη φασὶν οἴνων γίνεσθαι, καὶ τὸν μὲν ἕτερον πινόμενον, εἰς ὕπνον καταγειν εὐ μάλα βαθύν, καὶ διὰ ταῦτα ἡδύν· τὸν δὲ ἕτερον ἀντίπαλον εἶναι τοῦ βίου, καὶ ἀγρυπνίαν ἐμποιεῖν, καὶ ἀνιᾶσθαι παρέχειν.

Ἐν δὲ Ἀχαΐᾳ περὶ Κεραυνίαν οἶνος γίνεται, ὃς ταῖς βαλομέναις γυναιξὶν ἀμβλῶσαι συμμάχεται.

Κεφ. ζ'.

Περὶ Θηβῶν ὑπὸ Ἀλεξάνδρου ἁλόσεων, καὶ περὶ Πινδάρου.

Ὅτε εἷλε τὴν Θηβαίων πόλιν Ἀλέξανδρος, ἀπέδοτο τοὺς ἐλευθέρους πάντας, πλὴν ἱερέων. ἀφῆκε δὲ τῆς πράσεως καὶ τοὺς τοῦ πατρὸς ξένους. (ὠμήρευσε γὰρ παρ'

1) Ἀχαϊκοῦ.

παρ' αὐτοῖς ὁ Φίλιππος, ἔτι παῖς ὤν.) καὶ τοὺς συγγενεῖς δὲ τούτων ἀφῆκεν. ἐτίμησε δὲ καὶ τοὺς ἐγγόνους τοῦ Πινδάρου, καὶ τὴν οἰκίαν αὐτοῦ μόνην ἔασεν ἑξάνεω. ἐφόνευτο δὲ τῶν Θηβαίων εἰς 1) ἑννεακισμύρια, αἰχμάλωτοι δὲ ἐλήφθησαν τρισμύριοι.

Κεφ. η'.

Περὶ Λυσάνδρου.

Λύσανδρον τὸν Λακεδαιμόνιον ἐν τῇ Ἰωνίᾳ διατρίβοντα, τὰ Λυκούργου φασὶ νόμιμα ῥίψαντα, ἐπίπονα ὄντα, διατεθρύφθαι τὸν βίον.

Κεφ. θ'.

Περὶ Λαμίας.

Λαμία γῆν ἡ Ἀττικὴ ἑταίρα εἶπεν, οἱ ἐκ τῆς Ἑλλάδος λέοντες, ἐν Ἐφέσῳ γεγόνασιν ἀλώπεκες.

Κεφ. ι'.

Περὶ Διονυσίου δύο γυναῖκας ἐν μιᾷ ἡμέρᾳ ἀγαγόντος.

Ἐν μιᾷ ἡμέρᾳ δύο γυναῖκας ἠγάγετο Διονύσιος, Δωρίδα τὴν Λοκρίδα, καὶ Ἀριστανέτην τὴν Ἱππαρίνου, Δίωνος δὲ ἀδελφήν.

1) ἑξακισχιλίους.

φὴν· καὶ παρ' ἑκατέραν ἐπαύετο ἐν τῷ μέρει. καὶ ἡ μὲν ἠκολούθει στρατευομένῳ, ἡ δὲ ἐπανιόντα ὑπεδέχετο.

Κεφ. ιά.

Περὶ Περσῶν καταδουλώσεως. καὶ Ἰσοκράτες.

Λόγος τις εἰς ἐμὲ ἀφίκετο, λέγων αἴτιον Ἰσοκράτην γενέσθαι τὸν ῥήτορα τοῖς Πέρσαις καταδουλώσεως, ἣς ἐδουλώσαντο αὐτοὺς Μακεδόνες. τοῦ γὰρ πανηγυρικοῦ λόγου, ὃν Ἰσοκράτης τοῖς Ἕλλησιν ἐπεδείξατο εἰς Μακεδονίαν ἐλθόντα ἡ φήμη, πρῶτον μὲν Φιλίππου ἐπὶ τὴν Ἀσίαν ἀνέπεισεν. ἀποθανόντος δὲ ἐκείνου Ἀλέξανδρον τὸν υἱὸν αὐτοῦ, 1) παλαιῶν κληρονόμων, τὴν ὁρμὴν τὴν τοῦ Φιλίππου διαδέξασθαι παρεσκεύασε.

Κεφ. ιβ'.

Πῶς ὁ Μέτων ἐρρύσατο ἑαυτὸν τῆς ἐξόδου, καὶ περὶ Ὀδυσσέως μανίας.

Μέτων ὁ ἀστρονόμος, μελόντων ἐπὶ τὴν Σικελίαν πλεῖν τῶν Ἀθηναίων ἤδη τῶν στρατευμάτων, καὶ αὐτὸς εἰς ἦν τοῦ κατα-

1) παλαιῶν.

καταλόγου. σαφῶς δὲ ἐπισάμενος τὰς μελλούσας τύχας, τὸν πλοῦν ἐφυλάττετο δεδιώς, καὶ σπεύδων τῆς ἐξόδου ἑαυτὸν ῥύσασθαι. ἐπεὶ δὲ οὐδὲν ἔπραττεν, ὑπεκρίνατο μανίαν, καὶ πολλὰ μὲν καὶ ἄλλα ἔδρασε, πιστώσασθαι τὴν τῆς νόσου δόξαν βουλόμενος. ἐν δὲ τοῖς καὶ τὴν συνοικίαν τὴν αὐτοῦ κατέπρησεν. ἐγειτνία δὲ αὕτη τῇ Ποικίλῃ. καὶ ἐκ τούτου ἀφῆκαν αὐτὸν οἱ ἄρχοντες. καί μοι δοκεῖ ὁ Μέτων ἄμεινον ὑποκρίνασθαι τὴν μανίαν τοῦ Ὀδυσσέως τοῦ Ἰθακησίου. ἐκεῖνον μὲν γὰρ ὁ Παλαμήδης κατέφρασε, τοῦτον δὲ Ἀθηναίων ἑδεῖς.

Κεφ. ιγ'.

Περὶ Πτολεμαίου εὐεργεσίας.

Πτολεμαῖον φασι τὸν Λάγου καταπλουτίζοντα τοὺς φίλους αὐτοῦ, ὑπερχαίρειν. ἔλεγε δὲ, ἄμεινον εἶναι πλουτίζειν, ἢ πλουτεῖν.

Κεφ. ιδ'.

Περὶ Ὁμήρου ἐπῶν καὶ ποιήσεως.

Ὅτι τὰ Ὁμήρου ἔπη 1) πρόπαλαι διῃρημένα ἦδον οἱ παλαιοί. οἷον ἔλεγον, τὴν ἐπὶ ναυσὶ μάχην, καὶ Δολωνίαν τινὰ, καὶ ἀρι-

1) πρότερον δ.

ἀρίστειαν Ἀγαμέμνονος, καὶ νεῶν κατάλογον, καὶ πε Πατρόκλειαν, καὶ λύτρα, καὶ ἐπὶ Πατρόκλῳ ἆθλα, καὶ ὀρκίων ἀφάνισιν. ταῦτα ὑπὲρ τῆς Ἰλιάδος. Ὑπὲρ δὲ τῆς ἑτέρας, τὰ ἐν Πύλῳ, καὶ τὰ ἐν Λακεδαίμονι, καὶ Καλυψοῦς ἄντρον, καὶ τα περὶ τὴν Σχεδίαν, Ἀλκίνε 1) ἀπόλογοι, Κυκλωπίαν, καὶ νεκυίαν, καὶ τὰ τῆς Κίρκης, Νίπτρα, μνηστήρων φόνοι, τὰ ἐν ἀγρῷ, τὰ ἐν Λαέρτῃ.

Ὀψὲ δὲ Λυκέργος ὁ Λακεδαιμόνιος ἀθρόαν πρῶτος εἰς τὴν Ἑλλάδα ἐκόμισε τὴν Ὁμήρε ποίησιν. το δὲ ἀγωγιμον τοῦτο ἐξ Ἰωνίας, ἡνίκα ἀπεδήμησεν, ἤγαγεν. ὕστερον δὲ Πεισίστρατος συναγαγὼν, ἀπέφηνε τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν.

Κεφ. ιέ.

Περὶ ἀνοήτων τινῶν ἄγαν.

Φασὶ παχύτατον γενέσθαι τὴν διάνοιαν οἱ τῆς κωμωδίας ποιηταὶ, τὸ δέρμα ἔχοντα ἀδιακόνιστον, Πολύθωρόν τινα· καὶ ἄλλον, Κοκυλίωνα ὄνομα, ὅσπερ τὰ κύματα ἠρίθμει ὑπὸ τῆς ἄγαν μανίας. λόγος δέ τις καὶ Σαννυρίωνα τοιοῦτον γενέσθαι, ὃς ἐν τῇ λικύθῳ τὴν κλίμακα ἐζήτει. καὶ Κόροιβον δὲ, καὶ 2) Μελιτιάδην, καὶ ἐκείνους ἀνοήτους Φασίν. Κεφ.

1) ἀπολόγους. 2) Μελιτίδην.

Κεφ. ις'.

Περὶ Ἀπολλωνιατῶν, καὶ τῆς αὐτῶν χώρας, καὶ περὶ Ἐπιδάμνε.

Ἀπολλωνιάτας πόλιν οἰκοῦσι γείτονας Ἐπιδάμνε ἐν τῷ Ἰονίῳ κόλπῳ· καὶ ἐν τοῖς πλησίον αὐτῆς χωρίοις ἀσφάλτε ἐστὶν ὀρυκτὴ, καὶ πιμπλᾷ, τὸν αὐτὸν ἐκ τῆς γῆς ἀνατέλλουσα τρόπον, ὃν καὶ αἱ πλεῖσται πηγαὶ τῶν ὑδάτων. ἐ πόρρω δὲ καὶ τὸ ἀθάνατον δείκνυται πῦρ. ὁ δὲ καιόμενος ἐστι λόφος ὀλίγος, καὶ ἐκ εἰς μέγα διήκει, καὶ ἔχει περίβολον ἐ πολύν, ὄζει δὲ θείε καὶ σπτηρίας. καὶ περὶ αὐτόν ἐστι δένδρα εὐθαλῆ, καὶ πολλὰ χλωρά, καὶ τὸ πῦρ πλησίον ἐνακμάζον ἐδὲν λυπεῖ, ἔτε τὴν τῶν Φυτῶν βλάστην, ἔτε τὴν τεθηλυῖαν. καίεται δὲ τὸ πῦρ, καὶ νύκτα, καὶ μεθ' ἡμέραν, καὶ διέλιπεν ἐδέποτε, ὡς Ἀπολλωνιάται λέγουσι, πρὶν τε πολέμε τε πρὸς Ἰλλυριὰς συμβάντος αὐτοῖς.

Ὅτι Ἀπολλωνιάται ξενηλασίας ἐποίουν κατὰ τὸν Λακεδαιμόνιον νόμον. Ἐπιδάμνιοι δὲ ἐπιδημεῖν καὶ μετοικεῖν παρεῖχον τῷ βουλομένῳ.

Κεφ.

Κεφ. ιζ'.

Παροιμία, καὶ περὶ Φρυνίχε.

Ἀριθμὸν σφηκῶν πτήσεσι Φρύνιχος, ὥς τις ἀλεξητρυών. παροιμία ἐπὶ τῶν κακῶς τι πασχόντων. ὑποκρινομένε γὰρ Φρυνίχε τὲ τραγικὲ τὴν Μιλήτε ἅλωσιν, οἱ Ἀθηναῖοι δακρύσαντες ἐξέβαλον δεδοικότα καὶ ὑποπτήσσοντα.

Κεφ. ιή.

Περὶ Διονυσίε.

Διονύσιος ὁ τῆς Σικελίας 1), τραγωδίαν μὲν ἠσπάζετο, καὶ ἐπήνει, καὶ ἓν καὶ δράματα ἐξεπόνησε τραγικά. ἀλλοτρίως δὲ πρὸς τὴν κωμῳδίαν διέκειτο, ὅτι ἐκ ἦν Φιλόγελως.

Κεφ. ιθ'.

Περὶ τῶν ὑπὸ Κλεομένες ῥηθέντων ὑπὲρ Ὁμήρε καὶ Ἡσιόδε.

Ἔλεγεν ὁ Κλεομένης Λακωνικῶς κατὰ τὸν ἐπιχώριον τρόπον, τὸν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητήν, ὡς χρὴ πολεμεῖν λέγοντα, τὸν δὲ Ἡσίοδον τῶν Εἱλώτων, λέγοντα ὡς χρὴ γεωργεῖν.

Κεφ.

1) τύραννος.

Κεφ. κ'.

Περὶ τινος ἡδέως ἀποθνήσκοντος, ὅπως ἂν ἴδοι τινὰς τῶν τεθνεώτων.

Ἀνὴρ Μεγαλοπολίτης ἐξ Ἀρκαδίας, Κερκιδᾶς ὄνομα, ἀποθνήσκων ἔλεγε πρὸς τὲς οἰκείες, 1) ἐνθυμέμενος, ἡδέως ἀπολύεσθαι τὲ ζῆν, δι' ἐλπίδος γὰρ ἔχειν συγγενέσθαι, τῶν μὲν σοφῶν Πυθαγόρᾳ, τῶν δὲ ἰσορικῶν Ἑκαταίῳ, τῶν δὲ μεσικῶν Ὀλύμπῳ, τῶν δὲ ποιητῶν Ὁμήρῳ. καὶ ἐπὶ τέτοις, ὡς λόγος, τὴν ψυχὴν ἀπέλιπεν.

Κεφ. κά.

Περὶ Φρυγίε ἁρμονίας.

Ὅτι ἐν Κελαιναῖς τῇ δορᾷ τὲ Φρυγὸς ἐὰν πρεσαυλῇ τις τὴν ἁρμονίαν τὴν Φρύγιον, ἡ δορὰ κινεῖται. ἐὰν δὲ εἰς Ἀπόλλωνα, ἀτρεμεῖ καὶ ἔοικε 2) κωφῇ.

Κεφ. κβ'.

Περὶ Ὁμήρε ναὲ καὶ ἀγάλματος.

Πτολεμαῖος ὁ Φιλοπάτως, κατασκευάσας Ὁμήρῳ νεὼν, αὐτὸν μὲν καλῶς ἐκάθισε· κύκλῳ δὲ τὰς πόλεις περιέστησε

N τὲ

1) (εὖ.) 2) κωφῇ.

τῦ ἀγάλματος, ὅσαι ἀντιποιῦνται τῦ Ὁμήρυ. Γαλάτων δὲ ὁ ζωγράφος ἔγραψε τὸν μὲν Ὅμηρον αὐτὸν ἐμῦντα, τὰς δὲ ἄλλας ποιητὰς τὰ ἐμπεσόντα ἀρυομένας.

Κεφ. κγ'.

Περὶ Λυκύργυ τῦ Λακεδαιμονίυ.

Λυκῦργος ὁ Λακεδαιμόνιος, ὁ Εὐνόμυ παῖς, δικαίως βληθεὶς ἀποφῆναι Λακεδαιμονίοις, ὑπὲρ τότυ γε ὁ καλὸς τὰς μιθὰς ἠρύσατο. ἀπήντησε γὰρ αὐτῷ τὸν ὀφθαλμὸν ἐκκοπῆναι ὑπὸ Ἀλκάνδρυ, ὡς μέν τινες φασιν, ἐξ ἐπιβελῆς λίθῳ βληθείς· ὡς δὲ ἄλλος διαφοιτᾷ λόγος, βακτηρίᾳ παθὼν τὸ πάθος. λέγεται δὲ ὁ λόγος πρὸς τὰς ἄλλα θελήσαντας, ἄλλων δὲ τυχόντας. λέγει δὲ Ἔφορος, αὐτὸν λιμῷ διακαρτερήσαντα ἐν φυγῇ ἀποθανεῖν.

Κεφ. κδ'.

Περί τινων ὑπ' ἰδίων νόμων βλαβέντων.

Λυκῦργος ὁ ῥήτωρ ἔγραψε μὴ ἐλαύνειν τὰς γυναῖκας ἐν τοῖς μυστηρίοις ἐπὶ ζευγῶν, ἢ τῇ δρώσῃ τοῦτο ἐπιτρῖψαι ζημίαν, ἣν γε ὥρισε τάξας ἀποχρῶσαν. πρώτη

τῃ τῷ ψηφίσματι ἠπείθησεν ἡ τότυ γυνή, καὶ τὴν ζημίαν ἐξέτισε καταδικασθεῖσα.

Καὶ Περικλῆς ἔγραψε, μὴ εἶναι Ἀθηναῖον, ὃς μὴ ἐξ ἀμφοῖν γέγονεν ἀστοῖν. εἶτα ἀπεβαλὼν τὰς γνησίας παῖδας, ἐπὶ τῷ νόθῳ Περικλεῖ κατελέλειπτο. δῆλα δὲ ὅτι καὶ Περικλῆς ἐβάλετο μὲν ἕτερα, ἔτυχε δὲ ἑτέρων.

Κλεισθένης δὲ ὁ Ἀθηναῖος τὸ δεῖν ἐξοστρακίζεσθαι πρῶτος εἰσηγησάμενος, αὐτὸς ἔτυχε τῆς καταδίκης πρῶτος.

Ζάλευκος ὁ Λοκρῶν νομοθέτης προσέταξε τὸν μοιχὸν ἀλόντα ἐκκόπτεσθαι τὰς ὀφθαλμάς. ἃ τοίνυν μηδὲ πρόσεδόκησε, ταῦτα ὁ δαίμων αὐτῷ παρὰ τὴν δόξαν καὶ τὴν ἐλπίδα ἐπήγαγεν. ὁ γάρ τοι παῖς ἁλὰς ἐπὶ μοιχείᾳ, εἶτα ἔμελλε πείσεσθαι τὰ ἐκ τῦ πατρῴυ νόμυ. ἐνταῦθα, ἵνα μὴ διαφθαρῇ τὸ ἅπαξ κεκυρωμένον, ὑπέμεινεν αὐτὸς ὁ εἰσηγησάμενος ὑπὲρ τῦ ἑτέρυ τῶν τῦ παιδὸς ὀφθαλμῶν, ἀντιδῦναι τὸν ἑαυτῦ, ἵνα μὴ ὁ νεανίσκος τυφλωθῇ τελέως.

Κεφ. κέ.

Περὶ Πινδάρε ἐν ἀγωνίᾳ Κορίννης ἡτ]ήθέντος.

Πίνδαρος ὁ ποιητὴς ἀγωνιζόμενος ἐν Θήβαις, ἀμαθέσι περιπεσὼν ἀκροατᾶις, ἡτ]ήθη Κορίννης πεντάκις. ἐλέγχων δὲ τὴν ἀμβσίαν αὐτῶν ὁ Πίνδαρος σῦν ἐκάλει τὴν Κόρινναν.

Κεφ. κϛ'.

Πῶς ὁ Διογένης ἐν ἀπορίᾳ πάντων γενόμενος παρεμυθήσατο ἑαυτόν.

Διογένης ὁ Σινωπεὺς ἔρημος ἦν, καὶ μόνος ἀπέρριπτο. καὶ ἔτέ τινα δι' ἀπορίαν ὑπεδέχετο, ἔτέ τις αὐτὸν ἐξένιζε, τὸν ἄνδρα ἐκλεπόμενος διὰ τὸ τᾶ τρόπᾳ ἐλέγκτικόν· καὶ ὅτι ἦν πρὸς τὰ πρατ]όμενα καὶ λεγόμενα δυσάρεστος. ἠθύμει ἦν ὁ Διογένης, καὶ Φύλλων ἄκρα ἤθιε. ταῦτα γὰρ οἱ παρῆν. τοῖς δὲ ἀποπίπτεσι τᾶ ἄρτᾳ θρύμμασι μῦς ἐχρῆτο ἐπιφοιτῶν. ὁ ἦν. Διογένης Φιλοπόνως κατεσκέψατο τὸ πρατ]όμενον, καὶ μειδιάσας, καὶ ἑαυτᾶ γενόμενος Φαιδρότερός τε, καὶ ἵλεως, εἶπεν· ὁ μὲν μῦς ἔτος τῆς Ἀθηναίων πολυτελείας δεῖται ἀδέν· σὺ δὲ, ὦ Διόγενες, ἄχθη, Φησὶν, ὅτι μὴ συνδειπνεῖς Ἀθηναίοις· καὶ ἐπόρισεν ἑαυτῷ εὔκαιρον εὐθυμίαν.

Κεφ. κζ'.

Περὶ Σωκράτες σώματος.

Ὅτι τὸ Σωκράτες σῶμα ἐπεπίσευλο νόσμιον, καὶ σωΦροσύνης ἐγκρατὲς γεγονέναι, καὶ ταύτᾳ ἐνόσεν Ἀθηναῖοι πανδημεὶ, καὶ οἱ μὲν ἀπέθνησκον, οἱ δὲ ἐπιθανατίως εἶχον· Σωκράτης δὲ μόνος ἐκ ἐνόσησε τὴν ἀρχήν. ὁ τοίνυν τοιέτῳ συνὼν σώματι, τίνα ἡγέμεθα εἶχε ψυχήν;

Κεφ. κή.

Περὶ τᾶ οἰκέτε τᾶ Διογένες ὑπὸ κυνῶν διασπαθέντος.

Διογένης ἡνίκα ἀπέλιπε τὴν πατρίδα, εἷς αὐτᾶ τῶν οἰκετῶν ἠκολέθει, ὄνομα Μάνης. ὃς ἀΦέρων τὴν μετ' αὐτᾶ διατριβὴν ἀπέδρα· προτρεπόντων δέ τινων ζητεῖν αὐτὸν, ἔΦη· ἐκ αἰχρὸν, Μάνην μὲν μὴ δεῖσθαι Διογένες, Διογένην δὲ Μάνες; ἔτος δὲ ὁ οἰκέτης εἰς ΔελΦὸς ἁλώμενος ὑπὸ κυ-

νῶν διεσπάθη, τῷ ὀνόματι τὲ δεσπότε δίκας ἐκτίσας, ἀνθ' ὧν ἀπέδρασεν.

Κεφ. κθ'.

Περὶ ἐλπίδος.

Ἔλεγεν ὁ Πλάτων, τὰς ἐλπίδας, ἐγρηγορότων ἀνθρώπων ὀνείρες εἶναι.

Κεφ. λ'.

Περὶ Ὀλυμπιάδος ἐπὶ τῷ Ἀλεξάνδρῳ τεθνικότι καὶ ἀτάφῳ δυσχεραινόσης.

Ὀλυμπιὰς ἡ Ἀλεξάνδρε πυθομένη, ὅτι πολὺν χρόνον ὁ παῖς αὐτῆς ἄταφος μένει, βαρὺ ἀνασχέσα, καὶ θρηνῆσα εὖ μάλα λιγέως, Ὦ τέκνον, εἶπεν, ἀλλὰ σὺ μὲν ἀρανὲ μεταχεῖν βελόμενος, καὶ τᾶτο σπεύδων, νῦν ἀδὲ τῶν κοινῶν δίπτε, καὶ ἴσων πᾶσιν ἀνθρώποις, μεταχεῖν ἔχεις, γᾶς τε ἅμα, καὶ ταφᾶς· καὶ τὰς ἑαυτᾶς τύχας οἰκτείρασα, καὶ τὸ τὲ παιδὸς τετυφωμένον ἐλέγξασα.

Κεφ. λά.

Ὅτι Ξενοκράτης φιλοικτίρμων ἦν.

Ξενοκράτης ὁ 1) Καρχηδόνιος, ὁ ἑταῖρος Πλάτωνος, τά τε ἄλλα ἦν φιλοικτίρμων, καὶ ἐ μόνον φιλάνθρωπος, ἀλλὰ καὶ πολλὰ τῶν ἀλόγων ζώων ἠλέει. καί ἔν ποτε καθημένε ἐν ὑπαίθρῳ, διακόμενος βιαίως ςρεθὸς ὑπὸ ἱέρακος, εἰς τὲς κόλπες αὐτῆ κατέπτη. ὁ δὲ ἀσμένως ἐδέξατο τὸν ὄρνιν, καὶ διεφύλαξεν ἀποκρύψας, ἐς ἂν ὁ διώκων ἀπῆλθεν. ἐπεὶ δὲ ἠλευθέρωσεν αὐτὸν τῆ φόβε, ἁπλώσας τὸν κόλπον ἀφῆκε τὸν ὄρνιν, ἐπαιπὼν, ὅτι μὴ ἐξέδωκε τὸν ἱκέτην.

Κεφ. λβ'.

Πῶς ὁ Σωκράτης ἑταίρας τινὸς ἀλαζονείαν ἤλεγξεν.

Φησὶ Ξενοφῶν, ὅτι Θεοδότῃ τῇ ἑταίρᾳ εἰς λόγες ἀφῖκτο Σωκράτης, καλλίσῃ γυναικὶ ἔσῃ. ἀλλὰ καὶ τῇ Καλλισοῖ ἦλθεν εἰς λόγες, ἣ ἔλεγεν· ἐγὼ μὲν, ὦ Σωφρονίσκε, κρείττων εἰμί σε. σὺ μὲν γὰρ ἑδένα τῶν ἐμῶν δύνῃ ἀποσπᾶσαι, ἐγὼ δὲ, ἐαν βέλωμαι, τὲς σὲς πάντας. ὁ δὲ, καὶ

1) Χαλκηδόνιος.

μάλα γε εἰκότως. σὺ μὲν γὰρ ἐπὶ τὴν κατάντη αὐτὸς πάντας ἄγεις, ἐγὼ δὲ ἐπὶ τὴν ἀρετὴν ἥκειν βιάζομαι· ὀρθία δὲ ἡ ἄνοδός ἐσι, καὶ ἀήθης τοῖς πολλοῖς.

Κεφ. λγ'.

Περὶ Ῥοδώπιδος ἑταίρας τύχης.

Ῥόδωπίν Φασιν 1) Αἰγυπλίων ἑταίραν γενέσθαι 2) λόγοι ὡραιοτάτην, καί ποτε αὐτῆς λαμένης, ἡ τὰ παράδοξα καὶ τὰ ἀδύκητα φιλοῦσα ἐργάζεσθαι τύχη πεδξένεγκεν αὐτῇ ἀ τῆς γνώμης, ἀλλὰ τὰ κάλλες ἄξια. λαμένης γὰρ, καὶ τῶν θεραπαινίδων τὴν ἐσθῆτα φυλαλσουσῶν, ἀετὸς καταπτὰς, τὸ ἕτερον τῶν ὑποδημάτων ἁρπάσας, ἀπιὼν ᾤχετο, καὶ ἐκόμισεν εἰς Μέμφιν, δικάζοντος 3) Ψαμμιτίχε, καὶ εἰς τὸν κόλπον ἐνέβαλε τὸ ὑπόδημα. ὁ δὲ 4) Ψαμμήτιχος θαυμάσας τὸ ὑποδήματος τὸν ξυθμὸν, καὶ τῆς ἐργασίας αὐτῆ τὴν χάριν, καὶ τὸ πραχθὲν ὑπὸ τὸ ὄρνιθος, προσέταξεν ἀνὰ πᾶσαν 5) Αἴγυπλον ἀναζητεῖσθαι τὴν ἄνθρωπον, ἧς τὸ ὑπόδημά ἐσι, καὶ εὑρὼν γαμετὴν ἠγάγετο.

Κεφ.

1) Αἰγυπτίων. 2) del. λόγοι, (al. Αἰγυπτίων λόγοι φασὶν.) 3) 4) Ψαμμιτ. 5) τὴν Αἴγ.

Κεφ. λδ'.

Περὶ Διονυσίε.

Ὅτι τὸν Λέοντα ὁ Διονύσιος μετὰ τὴν πρόσταξιν τὴν κατ' αὐτῆ ἀνευρὼν, εἰς τρὶς τοῖς δορυφόροις ἐκέλευσεν ἀπάγειν, καὶ μετέγνω τρὶς, καὶ καθ' ἑκάσην μεταπομπὴν, κατεφίλει κλαίων, καὶ καταρώμενος ἑαυτῆ, ὅτι ὅτε ἔλαβε τὸ ξίφος. τελευτῶν ἥπλησαι τῷ φόβῳ, καὶ προσέταξεν ἀποσφαγῆναι, εἰπὼν, ὅτι ἐκ ἔσιν, ὦ Λέον, σοὶ ζῆν.

Κεφ. λε.

Περὶ ἐλάφε ἐν νόσῳ φυσικῆς θεραπείας.

Λέγσι φυσικοὶ ἄνδρες τὸν ἔλαφον καθάρσεως δεόμενον, σέλινα ἐσθίειν. φαλαγγίων δὲ κνήσμασιν ἐχόμενον, καρκίνες.

Κεφ. λς'.

Περὶ Εὐρυδίκης Φιλίππε θυγατρὸς τελευτῆς.

Ὀλυμπιὰς τῇ Φιλίππε θυγατρὶ Εὐρυδίκῃ, (ἦν δὲ ἄρα ἐξ Ἰλλυρίδος γυναικὸς τῷ Φιλίππῳ γενομένη,) προσέπεμψε

κώνειον, καὶ βρόχον, καὶ ξίφος· ἡ δὲ αἱρεῖται τὸν βρόχον.

Κεφ. λζ'.

Περὶ Γέλωνος, καὶ τῶν αὐτῷ ἐπιβελευόντων.

Γέλων ὁ τῶν Συρακοσίων τύραννος τὴν τῆς ἀρχῆς καλάσασιν πραότατα εἶχε, σασιώδεις δέ τινες ἐπεβάλευον αὐτῷ. ἃ πυθόμενος ὁ Γέλων, εἰς ἐκκλησίαν συγκαλέσας τοὺς Συρακοσίους, εἰσῆλθεν ὡπλισμένος ὁ Γέλων. καὶ διεξελθὼν, ὅσα ἀγαθὰ αὐτοῖς εἰργάσατο, καὶ τὴν ἐπιβλὴν ἐξεκάλυψε, καὶ ἀπεδύσατο τὴν παινοπλίαν, εἰπὼν πρὸς πάντας· ἰδὲ τοίνυν ὑμῖν ἐν χιτωνίσκῳ γυμνὸς τῶν ὅπλων παρέσκα, καὶ δίδωμι χρῆσθαι, ὅ, τι βέλεσθε. καὶ ἐθαύμασαν αὐτοῦ τὴν γνώμην οἱ Συρακέσιοι. οἱ δὲ καὶ τοὺς ἐπιβελευόντας παρέδωσαν αὐτῷ κολάσαι, καὶ τὴν ἀρχὴν ἔδωκαν. ὁ δὲ καὶ τούτους εἴασε τῷ δήμῳ τιμωρήσασθαι. καὶ εἰκόνα αὐτοῦ οἱ Συρακέσιοι ἔστησαν ἐν ἀζώστῳ χιτῶνι, καὶ ἦν τοῦτο τῆς δημαγωγίας αὐτοῦ ὑπόμνημα, καὶ τοῖς εἰς τὸν μετὰ ταῦτα αἰῶνα μέλλουσιν ἄρχειν δίδαγμα.

Κεφ.

Κεφ. λή.

Περὶ Ἀλκιβιάδου.

Ἰσχυρῶς Ὅμηρον ἐθαύμαζεν Ἀλκιβιάδης. καί ποτε διδασκαλείῳ παίδων προσελθὼν, ῥαψῳδίαν Ἰλιάδος ᾔτει. τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόνδυλον εὖ μάλα σφοδρὸν, παρῆλθεν, ἐνδειξάμενος ὅτι ἐκεῖνος ἀπαίδευτός ἐστι, καὶ τοιούτους ἀποφαίνει τοὺς παῖδας.

Οὗτος ἐπὶ κρίσιν καλούμενος θανατικὴν ἐκ Σικελίας ὑπὸ τῶν Ἀθηναίων, οὐχ ὑπήκουσεν, εἰπών· εὖ ἴσθι τὸν ἔχοντα δίκην, ζητεῖν (μὴ) ἀποφυγεῖν, ἐνὸν φυγεῖν. εἰπόντος δέ τινος, οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σοῦ κρίσιν; ὁ δὲ εἶπεν, οὐδὲ τῇ μητρίδι. δέδοικα γὰρ μὴ ἀγνοήσασα, καὶ σφαλεῖσα τοῦ ἀληθοῦς, εἶτα τὴν μέλαιναν 1) ἐμβάλῃ ἀντὶ τῆς λευκῆς ψῆφον. πυθόμενος δὲ, ὅτι θανάτου αὐτοῦ κατεγνώσθη ὑπὸ τῶν πολιτῶν, δείξομεν ἔφη, εἶπεν, ὅτι ζῶμεν. καὶ ὁρμήσας πρὸς τοὺς Λακεδαιμονίους, τὸν Δεκελεικὸν ἐξῆψε πόλεμον ἐπὶ τοὺς Ἀθηναίους.

1) ἐμβάλῃ.

Ἔλεγε δὲ, μηδὲν παράδοξον ποιεῖν Λακεδαιμονίους, ἀδεῶς ἐν τῷ πολέμῳ ἀποθνήσκοντας. τὴν γὰρ ἐκ τῶν νόμων ταλαιπωρίαν 1) ἀποδιδράσκοντας, θάνατον ὑπὲρ τῶν πόνων ἔχθσι προθύμως ἀλλάττεθαι.

Εἰώθει δὲ Φασιν, ἐπιλέγειν ταῖς ἑαυτῦ πράξεσιν, ὅτι τὸν τῶν Διοσκόρων ζῆ βίον, παρ' ἡμέραν τεθνηκώς τε, καὶ ἀναβιές. εὐημερήσας γὰρ ἐν τῷ δήμῳ, ἴσος θεοῖς νομίζεθαι· κακῶς δὲ ἀπαλλάξας, τῶν νεκρῶν μηδὲ ὀλίγον διαφέρειν.

Κεφ. λθ'.

Περὶ Ἐφιάλτε.

Ἐφιάλτης, στρατηγῦ ὀνειδίσαντος αὐτῷ 2) τινὰ πενίαν, τὸ δὲ ἕτερον, ἔφη, διὰ τί δ' λέγεις, ὅτι δίκαιος εἰμί;

Κεφ. μ'.

Περὶ Θεμιστοκλέες.

Στρεπτῷ κειμένῳ ἐπὶ τῆς γῆς χρυσῷ Περσικῷ ὁ Θεμιστοκλῆς παρεσὼς παιδὶ εἶπεν· ἐκ ἀναιρήσεις, ὦ παῖ, τὸ εὕρεμα τόδε; δεῖξας τὸν στρεπτόν. σὺ γὰρ σὺ Θεμιστοκλῆς εἶ δήπε.

Ὅτι

1) ἀποδιδράσκοντες. 2) τινος Β.

Ὅτι ἠτίμασαν αὐτόν ποτε Ἀθηναῖοι, εἶτα ἐπὶ τὴν ἀρχὴν αὖθις παρεκάλεν. ὁ δὲ, ἐκ ἐπαινῶ τὲς τοιὲτες ἄνδρας, οἵ τινες τὴν αὐτὴν ἀμίδα καὶ σινοχόην ἔχσι.

Πρὸς Εὐρυβιάδην τὸν Λακεδαιμόνιον ἔλεγέ τι ὑπεναντίον, καὶ ἀνέτεινεν αὐτῷ τὴν βακτηρίαν. ὁ δὲ, πάταξον μὲν, ἄκεσον δὲ. ἤδει δὲ, ὅτι ἃ μέλλει λέγειν, τῷ κοινῷ λυσιτελεῖ.

Κεφ. μά.

Περὶ Φωκίωνος.

Ὀδυρομένων τῶν μετὰ Φωκίωνος μελλόντων ἀποθνήσκειν, εἶπεν ὁ Φωκίων, εἶτα ἐκ ἀγαπᾷς, Θέσιππε, μετὰ Φωκίωνος ἀποθνήσκων;

Κεφ. μβ'.

Περὶ Ἐπαμινώνδε.

Ἐπαμινώνδας ἔφευγε δίκην θανάτε ἐπανελθὼν ἐκ τῆς Λακωνικῆς, ὡς ὑπολαβὼν τὸν βοιωταρχίαν τέσσαρας μῆνας παρὰ τὸν νόμον. τὲς μὲν ἓν συνάρχοντας ἐκέλευσεν εἰς αὐτὸν τὴν αἰτίαν ἀναφέρειν, ὡς ἐκβιαθέντας ἄκοντας. αὐτὸς δὲ παρελθὼν εἰς τὸ δικαστήριον, ἐκ ἔφη βελτίο-

νας ἔχειν τῶν ἔργων τὰς λόγους. εἰ δὲ μή, ἠξίᾳ ἀποκτείνειν αὐτὸν, ἐπιγράψαι μέν τοι τῇ στήλῃ, ὅτι μὴ βαλομένους Θηβαίους ἠνάγκαζεν Ἐπαμινώνδας, τὴν μὲν Λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς ἀδήωτον ὖσαν· 1) οἰκῆσαι δὲ Μεσσήνην δι' ἐτῶν τριάκοντα καὶ 2) τριακοσίων, 3) συντάξεται δὲ συναγαγεῖν εἰς αὐτὸν Ἀρκάδας, ἀποδῶναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονομίαν. καὶ ἀφῆκαν αὐτὸν αἰδεσθέντες οἱ δικασταί. ἐπανελθόντα δὲ αὐτὸν ἐκ τοῦ δικαστηρίου, Μελιταῖον κυνίδιον ἔσαινε. διὸ πρὸς τοὺς παρόντας εἶπε· τοῦτο μὲν ἀποδίδωσιν εὐεργεσίας μοι χάριν· Θηβαῖοι δὲ, πολλάκις ὑπ' ἐμοῦ εὖ παθόντες, ἔκρινάν με θανάτου.

Κεφ. μγ'.

Περὶ Τιμοθέου.

Ὅτι Τιμόθεος, ὁ στρατηγὸς Ἀθηναίων, ἐπιστεύετο εὐτυχὴς εἶναι, καὶ ἔλεγε τὴν τύχην αἰτίαν εἶναι, Τιμόθεος δὲ ἀδένος. καὶ οἱ ζωγράφοι δὲ καθεύδοντα ἐποίουν αὐτὸν κωμῳδοῦντες ἐπὶ τῆς σκηνῆς, εἶτα ὑπὲρ τῆς κεφαλῆς ἀπηώρητο ἐκοῦσα ἡ Τύχη, ἔλκουσα εἰς κύρτον τὰς πόλεις.

Πυν-

1) οἰκίσαι. 2) διακοσίων. 3) συνλέξαι δὲ καὶ συναγ.

Πυνθανομένου Θεμιστοκλέους τινὸς, κατὰ τί μάλιστα ἥδη ἐν τῷ βίῳ, ὅδε ἀπεκρίνατο, τὸ θέατρον ἰδεῖν Ὀλυμπιάσιν ἐπιστρεφόμενον εἰς ἐμὲ εἰς τὸ στάδιον παριόντα.

Κεφ. μδ'.

Περὶ Θεμιστοκλέους καὶ Ἀριστείδου Φιλονεικίας.

Τὰς αὐτὰς ἐπιτροπὰς ἔσχε Θεμιστοκλῆς, καὶ Ἀριστείδης ὁ Λυσιμάχου, καὶ διὰ ταῦτά τοι, καὶ συνετράφησαν, καὶ συνεπαιδεύθησαν κοινῷ διδασκάλῳ. ἐστασιαζέτην δὲ ὅμως καὶ ἔτι παῖδες ὄντες, καὶ παρέμεινεν αὐτοῖς ἡ Φιλονεικία ἀπὸ τῆς πρώτης ἡλικίας, καὶ εἰς ἔσχατον γήρας.

Κεφ. με'.

Περὶ Διονυσίου ἀπονοίας.

Ὅτι Διονύσιος τὴν μητέρα διέφθειρε Φαρμάκοις. Λεπτίνην δὲ τὸν ἀδελφὸν σῶσαι δυνάμενος ἐν τῇ ναυμαχίᾳ, περιεῖδεν ἀπολλύμενον.

Κεφ.

Κεφ. μϛ'.

Περὶ δράκοντος εὐεργεσίας ἀναμνηθέντος.

Πόλις ἐστὶ τῆς Ἀχαΐας αἱ Πάτραι. παῖς παρ' αὐταῖς δράκοντα μικρὸν ἐπρίατο, καὶ ἔτρεφε μετὰ πολλῆς τῆς κομιδῆς. αὐξηθέντος δὲ αὐτῷ ἐλάλει πρὸς αὐτὸν, ὡς πρὸς ἀκούοντα. καὶ ἤθυρε μετ' αὐτοῦ καὶ συνεκάθευδεν αὐτῷ. εἰς μέγιστον δὲ μέγεθος ἐλθὼν ὁ δράκων, ὑπὸ τῶν πολιτῶν εἰς ἐρημίαν ἀπελύθη. ὕστερον δὲ ὁ παῖς νεανίας γενόμενος, ἀπό τινος θέας ἐπανιὼν, λῃσταῖς περιπεσὼν μετὰ τῶν συνηλίκων, βοῆς γενομένης, ἰδὼ ὁ δράκων, καὶ τοὺς μὲν διεσκόρπισεν, ὃς δὲ ἀπέκτεινεν, αὐτὸν δὲ περιεσώσατο.

ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

Κεφάλαιον ά.

Πῶς ὁ Ἀριστοτέλης εἶχε πρὸς Φιλοδοξίαν.

Ἀριστοτέλης ὁ Νικομάχε, σοφὸς ἀνὴρ καὶ ὢν καὶ εἶναι δοκῶν, ἐπεί τις ἀφείλετο 1) τὰς ψηφισθείσας αὐτῷ ἐν Δελφοῖς τιμὰς, ἐπιστέλλων πρὸς Ἀντίπατρον περὶ τούτων, φησὶν· ὑπὲρ τῶν ἐν Δελφοῖς ψηφισθέντων μοι, καὶ ὧν ἀφήρημαι νῦν, ὅτως ἔχω, ὡς μή τέ μοι σφόδρα μέλειν ὑπὲρ αὐτῶν, μή τέ μοι μηδὲν μέλειν. εἰ δὲ ἦν φιλοδοξία ταῦτα, οὐδ' ἂν καταγνοίην ἔγωγε τοιοῦτόν τοι Ἀριστοτέλους. ἀλλ' εὖ φρονῶν ᾤετο, μὴ ὅμοιον εἶναι, ἀρχήν τινα μὴ λαβεῖν, ἢ λαβόντα ἀφαιρεθῆναι. τὸ μὲν γὰρ οὐδὲν μέγα, τὸ μὴ τυχεῖν· τὸ δὲ ἀλγεινὸν, τὸ τυχόντα εἶτα ἀποστερηθῆναι.

Κεφ.

1) αὐτὰ τ.

Κεφ. β'.

Περὶ Ἀγησιλάου, καὶ τῶν βαρβάρων ἐπιορκούντων.

Ὅτι τὰς παραβάντας ὅρκους τῶν βαρβάρων ἐπήνεσεν Ἀγησίλαος. ὅτι τοὺς θεοὺς ἐχθροὺς αὐτοῖς ποιησάμενοι ταῖς ἐπιορκίαις, αὐτῷ φίλους καὶ συμμάχους κατεπράξαντο.

Κεφ. γ'.

Περὶ ἀσωτίας.

Τιμόθεος πρὸς Ἀριστοφῶντα ἄσωτον ὄντα, πικρότατα καθικόμενος αὐτοῦ, εἶπεν· ὦ ἱκανὸν ἐδέη, ἀλλὰ τέτῳ γε αἰσχρὸν ἐδέη.

Κεφ. δ'.

Περὶ Ἀριστείδου ὑπὸ γαλῆς δηχθέντος, καὶ ἀποθνήσκοντος.

Ὅτι Ἀριστείδης ὁ Λυσιμαχίδου Ταρτησίας γαλῆς δηχθεὶς, καὶ ἀποθνήσκων, εἶπεν· ὅτι πολὺ ἂν ἥδιον ἦν αὐτῷ δηχθέντι ὑπὸ λέοντος ἢ παρδάλεως ἀποθανεῖν, εἴπερ ἦν ἔδει τινὸς τῷ θανάτῳ προφάσεως, ἢ ὑπὸ θηρίου τοιούτου· τὴν ἀδοξίαν, ἐμοὶ δοκεῖν, ἐκεῖνος τοῦ δήγματος πολλῷ βαρύτερον φέρων, ἢ τὸν θάνατον αὐτόν.

Κεφ. ε'.

Τίσιν ἐχρῶντο οἱ Ἀθηναῖοι πρὸς τὰς ἀρχάς.

Οὐ μόνοις τοῖς ἀστοῖς ἐχρῶντο Ἀθηναῖοι, πρὸς τὰς ἀρχὰς καὶ τὰς στρατηγίας ἐπιτηδείοις· ἀλλὰ γὰρ καὶ ξένους προεῖρηντο, καὶ τὰ κοινὰ αὐτοῖς ἐνεχείριζον, εἴπερ ἓν αὐτοὺς ἀγαθοὺς ὄντας κατέγνωσαν, καὶ ἐπιτηδείους εἰς τὰ τοιαῦτα.

Ἀπολλόδωρον τὸν Κυζικηνὸν πολλάκις στρατηγὸν εἵλοντο, ξένον ὄντα, καὶ Ἡρακλείδην τὸν Κλαζομένιον. εἰδεξάμενοι γὰρ, ὅτι ἄξιοι λόγου εἰσὶν, εἶτα οὐκ ἔδοξαν ἀνάξιοι τοῦ Ἀθηναίων ἄρχειν εἶναι. καὶ ὑπὲρ μὲν τούτων ἐπαινεῖν χρὴ τὴν πόλιν, μὴ καταχαριζομένην τἀληθὲς τοῖς πολίταις, ἀλλὰ νέμουσαν καὶ τοῖς γένει μὲν μὴ προσήκουσι, δι' ἀρετὴν δὲ ἀξίοις τιμᾶσθαι.

Κεφ.

Κεφ. ε'.

Ἀρισίππε γνώμη περὶ εὐθυμίας.

Πάνυ σφόδρα ἐρρωμένως ἐώκει λέγειν ὁ Ἀρίσιππος, παρεγγυῶν, μήτε τοῖς παρελθοῦσιν ἐπικάμνειν, μήτε τῶν ἐπιόντων προκάμνειν. εὐθυμίας γὰρ δεῖγμα τὸ τοιοῦτο, καὶ ἴλεω διανοίας ἀπόδειξις. προσέταττε δὲ ἐφ' ἡμέραν τὴν γνώμην ἔχειν, καὶ αὖ πάλιν τῆς ἡμέρας ἐπ' ἐκείνῳ τῷ μέρει, καθ' ὃ ἕκαστος ἢ πράττει τι, ἢ ἐννοεῖ. μόνον γὰρ ἔφασκεν ἡμέτερον εἶναι τὸ παρὸν, μήτε δὲ τὸ φθάνον, μήτε τὸ προσδοκώμενον. τὸ μὲν γὰρ ἀπολωλέναι· τὸ δὲ ἄδηλον εἶναι, εἴπερ ἔσαι.

Κεφ. ζ'.

Νόμος Λακωνικὸς περὶ τῆς τῶν σωμάτων χρόας, καὶ εὐφυΐας, καὶ τῶν ὑπερσαρκούντων.

Λακεδαιμόνιος ἔστος ὁ νόμος, ὁ δὲ νόμος ἐκεῖνα λέγει· Μηδένα Λακεδαιμονίων ἀνανδρότερον ὁρᾶσθαι τὴν χρόαν, ἢ τὸν ὄγκον τοῦ σώματος ἔχειν ὑπὲρ τὰ γυμνάσια. ἐδόκει γὰρ τὸ μὲν ἀργίαν ὁμολογεῖν· τὸ δὲ ἐχ ὁμολογεῖν ἄνδρα. προσεγέγραπτο

γραπτο δὲ 1) καὶ τῷ νόμῳ, καὶ διὰ δέκα ἡμερῶν πάντως τοῖς ἐφόροις τὰς ἐφήβας παρίσασθαι γυμνὰς δημοσίᾳ· καὶ εἰ μὲν ἦσαν εὐπαγεῖς, καὶ ἐρρωμένοι, καὶ ἐκ τῶν γυμνασίων οἱονεὶ διαγλυφέντες, καὶ διατορευθέντες, ἐπῃνεῖντο· εἰ δέ τι χαῦνον ἦν αὐτοῖς τῶν μελῶν, ἢ ὑγρότερον, ὑποιδέσης καὶ ὑπαναφυομένης διὰ τὴν ῥᾳθυμίαν πιμελῆς, ἀλλ' ἐνταῦθα μὲν ἐπαίοντο, καὶ ἐδικαιοῦντο. ἐτίθεντο δὲ καὶ Φροντίδα οἱ ἔφοροι καθ' ἑκάστην πολυπραγμονεῖν τὰ περὶ τὴν σολὴν, εἰ ἕκαστα αὐτῆς μὴ ἀπολέπηται τῷ κόσμῳ τῷ δέοντος. ἔδει δὲ ὀψοποιὸς ἐν Λακεδαίμονι εἶναι κρέως μόνε. ὁ δὲ παρὰ τοῦτο ἐπιζάμενος, ἐζηλαύνετο τῆς Σπάρτης, ὡς τὰ τῶν νοσούντων καθάρσια.

Οἱ αὐτοὶ Ναυκλείδην τὸν Πολυδιάδε ὑπερσαρκοῦντα τῷ σώματι, καὶ ὑπέρπαχυν διὰ τρυφὴν γενόμενον, ἐκ τῆς ἐκκλησίας τῶν θεωμένων κατήγαγον, καὶ ἠπείλησαν αὐτῷ φυγῆς προτίμησιν, ἐὰν μὴ τὸν βίον, ὃν ἐβίω τότε, ὑπάτιον ὄντα, καὶ Ἰωνικὸν μᾶλλον, ἢ Λακωνικὸν, τῷ λοιπῷ μεθαρμόσηται. φέρειν γὰρ αὐτῷ τὸ εἶδος, καὶ τὴν τοῦ σώματος διάθεσιν, αἰχύνην καὶ τῇ Λακεδαίμονι καὶ τοῖς νόμοις. Κεφ.

1) del. καὶ.

Κεφ. ή.

Πῶς ὁ Πολύκλειτος καὶ Ἱππόμαχος τὴν τῶν πολλῶν ἀγνοιαν ἐξήλεγξαν.

Δύο εἰκόνας εἰργάσατο Πολύκλειτος κατὰ τὸ αὐτό· τὴν μὲν, τοῖς ὄχλοις χαριζόμενος· τὴν δὲ, κατὰ τὸν νόμον τῆς τέχνης. ἐχαρίζετο δὲ τοῖς πολλοῖς τὸν τρόπον τοῦτον· καθ' ἕκαστον τῶν εἰσιόντων μετετίθει τι, καὶ μετεμόρφου, πειθόμενος τῇ ἑκάστου ὑφηγήσει. πρῶθηκεν ἀμφοτέρας· καὶ ἡ μὲν ὑπὸ πάντων ἐθαυμάζετο, ἡ δὲ ἑτέρα ἐγελᾶτο. ὑπολαβὼν ἔν ἔφη ὁ Πολύκλειτος. ἀλλὰ ταύτην μὲν, ἣν ψέγετε, ὑμεῖς ἐποιήσατε, ταύτην δὲ, ἣν θαυμάζετε, ἐγώ.

Ἱππόμαχος ὁ αὐλητὴς, ἐπεὶ αὐτῷ μαθητὴς αὐλῶν, ἥμαρτε μὲν κατὰ τὸ αὔλημα, ἐπηνέθη δὲ ὑπὸ τῶν παρόντων, καθίκετο αὐτοῦ τῇ ῥάβδῳ, καὶ ἔφη, καλῶς ἤυλησας, ἀγαθὸς ἄν ἦτοι σε ἐπήνεσεν.

Κεφ

Κεφ. θ'.

Περὶ Ξενοκράτους καρτερίας.

Ξενοκράτης ὁ Χαλκηδόνιος, ὑπὸ τοῦ Πλάτωνος, εἰς τὸ ἄχαρι σκωπτόμενος, 1) ἀδέπω ἠγανάκλει 2) φησὶν, ἀλλὰ καὶ πρὸς τὸν παροξύνοντα αὐτὸν ὑπὲρ τούτου, ἵνα τι ἀποκρίνηται τῷ Πλάτωνι, ὅδε καὶ πάνυ ἐμφρόνως κατασιγάζων τὸν ἄνδρα, ἔφατο· ἀλλὰ τοῦτο ἐμοὶ συμφέρει.

Κεφ. ι.

Πῶς ὁ Φωκίων ἀντέσκωψεν εἰς τὸν Δημάδην.

Προείλοντο τοῦ Φωκίωνος Ἀθηναῖοι τὸν Δημάδην στρατηγεῖν. ὁ δὲ προτιμηθεὶς, καὶ μέγα φρονῶν, προσελθὼν τῷ Φωκίωνι, χρῆσόν μοι, ἔφη, τὴν ὑπαρὰν χλαμύδα, ἣν εἰώθεις φορεῖν περὶ τὴν στρατηγίαν. καὶ ὅς, ἀδέ ποτε, εἶπεν, ἐνδυὸς ὑπαρᾷ σὺ ἀπορήσεις, ἐς ἂν εἶ τοιοῦτος.

Κεφ.

1) ἀδέποτε. 2) φασὶν.

Κεφ. ιά.

Πῶς δεῖ εἶναι τὸν ἄρχοντα εἰς τοὺς ἀρχομένους.

Φιλίσκος πρὸς Ἀλέξανδρον ἔφη ποτὲ, δόξης φρόντιζε, ἀλλὰ μὴ ἔσο λοιμὸς, καὶ μὴ μεγάλη νόσος, ἀλλὰ εἰρήνη καὶ ὑγεία· λέγων, τὸ μὲν βιαίως ἄρχειν καὶ πικρῶς, καὶ αἱρεῖν πόλεις, καὶ ἀπολλύειν δήμους, λοιμῶ εἶναι· τὸ δὲ ὑγείας προνοεῖσθαι καὶ σωτηρίας τῶν ἀρχομένων, εἰρήνης ταῦτα ἀγαθά.

Κεφ. ιβ'.

Τί ἔπραττεν ὁ Περσῶν βασιλεὺς ὁδοιπορῶν.

Ὅτι ὁ Περσῶν βασιλεὺς ὁδοιπορῶν, ἵνα μὴ ἀλύῃ, φιλύριον εἶχε, καὶ μαχαίριον, ἵνα ξέῃ τοῦτο. καὶ τοῦτο εἰργάζοντο αἱ βασιλέως χεῖρες. πάντως γὰρ οὐκ εἶχον ὃ βιβλίον, ὃ διάνοιαν, ἵν' ἢ σπουδαῖόν τι, καὶ σεμνὸν ἀναγινώσκειν, ἢ γενναῖόν τι καὶ λόγου ἄξιον βουλεύηται.

Κεφ.

Κεφ. ιγ'.

Περὶ τῶν Ἀγάθωνος τραγῳδιῶν.

Πολλοῖς καὶ πολλάκις χρῆται τοῖς ἀντιθέτοις ὁ Ἀγάθων. ἐπεί δέ τις, οἷον ἐπανορθούμενος αὐτὸν, ἐβούλετο περιαιρεῖν αὐτὰ τῶν ἐκείνου δραμάτων, εἶπεν· ἀλλὰ σύγε, γενναῖε, λέληθας σεαυτὸν, τὸν Ἀγάθωνα ἐκ τοῦ Ἀγάθωνος ἀφανίζων. ἔτως ἐκόμα ἐπὶ τούτοις ἐκεῖνος, καὶ ᾤετο τὴν αὐτοῦ τραγῳδίαν ταῦτ' εἶναι.

Κεφ. ιδ'.

Περὶ Στρατονίκου τοῦ κιθαρῳδοῦ.

Στρατόνικον τὸν κιθαρῳδὸν ὑπεδέξατό τις ἀμφιλαφῶς· ὁ δὲ ὑπερήθη τῇ κλήσει. καὶ γὰρ ἔτυχεν ἐκ ἔχων καλαγωγὴν, ἅτε εἰς ξένην ἀφικόμενος. ὑπερηπάζετο γοῦν τὸν ἄνδρα, διὰ τὸ πρόχειρον τῆς κοινωνίας τῆς κατὰ τὴν στέγην. ἐπεὶ δὲ καὶ ἄλλον εἶδεν εἰσιόντα, καὶ ἄλλον, καὶ τρόπον τινὰ ἄκλειστον αὐτοῦ τὴν οἰκίαν πᾶσι τοῖς καταλύειν προῃρημένοις, ἐνταῦθα ὁ Στρατόνικος ἔφη πρὸς τὸν ἀκόλουθον, ἀπίωμεν ἐντεῦθεν, ὦ παῖ. ἐοίκαμεν γὰρ ἀντὶ περιστερᾶς ἔχειν φάτταν, ὑπὲρ οἰκίας εὑρόντες πανδοκεῖον.

Ο Κεφ.

PHILOLOGISCHES SEMINAR DER UNIVERSITÄT MANNHEIM

β) ἀναγινώσκειν.

Κεφ. ιέ.

Περὶ τῶν τῦ Σωκράτες λόγων.

Λόγος τις διεφοίτα, λέγων τὰς Σωκράτες λόγας ἐοικέναι τοῖς Παύσωνος γράμμασι. καὶ γάρ τοι καὶ Παύσωνα τὸν ζωγράφον, ἀκέσαντα παρά τινος γράψαι ἵππον καλινδέμενον, τὸν δὲ γράψαι τρέχοντα. ἀγανακτῆντος ἦν τῦ τὸ πινάκιον ἐκδόντος, ὡς παρὰ τὰς ὁμολογίας γράψαντος, ἀποκρίνασθαι τὸν ζωγράφον, ὅτι τρέψον τὸ πινάκιον, καὶ ὁ καλινδέμενος ἔσω σοι ὁ τρέχων. καὶ τὸν Σωκράτην μὴ σαφῶς διαλέγεσθαι, εἰ γῆν τις αὐτὰς τρέψει, ὀρθότατα ἔχειν. ἐκ ἐβέλετο δὲ ἄρα ἀπέχθάνεσθαι τέτοις, πρὸς ἃς διελέγετο, καὶ διὰ τῦτο αἰνιγματώδεις αὐτὰς παρείχετο καὶ πλαγίας.

Κεφ. ις'.

Περὶ Ἱππονίκε Φιλοτιμίας.

Ἱππόνικος ὁ Καλλίε ἐβέλετο ἀνδριάντα ἀναστῆσαι τῇ πατρίδι ἀνάθημα. ἐπεὶ δέ τις συνεβέλευσε παρὰ Πολυκλείτῳ κατασκευάσαι τὸ ἄγαλμα· ἐκ ἔφη προσέξειν τοιέτῳ ἀναθήματι, ἃ τὴν δόξαν ἐχ ὁ ἀνατεθεὶς, ἀλλ' ὁ ποιήσας ἕξει. δῆλον γὰρ, ὡς οἱ

οἱ ὁρῶντες τὴν τέχνην, ἔμελλον τὸν Πολύκλειτον, ἀλλ' ἐκ ἐκεῖνον, ἄγαθαι.

Κεφ. ιζ'.

Περὶ Ἀρχελάε, καὶ περὶ Ζεύξιδος γραφῶν.

Σωκράτης ἔλεγεν, Ἀρχέλαον εἰς τὴν οἰκίαν 1) τεσσαράκοντα μνᾶς ἀναλῶσαι, Ζεῦξιν μισθωσάμενον τὸν Ἡρακλεώτην, ἵνα αὐτὴν καταγράφοι, εἰς ἑαυτὸν δὲ ὀβέν· διὸ πόρρωθεν μὲν ἀφικνεῖθαι σὺν σπεδῇ πολλῇ τὰς βελομένας θεάσαθαι τὴν οἰκίαν, δι' αὐτὸν δὲ Ἀρχέλαον μηδένα εἰς Μακεδόνας ἐέλεθαι, ἐὰν μή τινα ἀναπείσῃ χρήμασι, καὶ δελεάσῃ, ὑφ' ὧν ἐκ ἂν αἱρεθῆναι τὸν σπεδαῖον.

Κεφ. ιή.

Πῶς ὀργιζόμενός τις τὸν οἰκέτην τιμωρῆσαι ἐβέλετο.

Ἀνὴρ Χῖος ὀργιζόμενος τῷ οἰκέτῃ, ἐγώ σε, ἔφη, ἐκ εἰς μύλην ἐμβαλῶ, ἀλλ' εἰς Ὄλυμπίαν ἄξω. πολλῷ γὰρ ᾤετο πικροτέραν, ὡς τὸ εἰκὸς, εἶναι τιμωρίαν, ἐκεῖνος, ἐν Ὀλυμπίᾳ 2) θεώμενον ὑπὸ τῆς ἀκτῖνος ὀπτᾶσθαι, ἢ ἁλῆν μύλην παραδεθέντα.

1) τετρακοσίας. 2) θεώμενος.

Κεφ. ιθ'.

Περὶ Ἀρχύτε σωφροσύνης ἐν λόγοις.

Ἀρχύτας τάτε ἄλλα ἦν σώφρων, καὶ ἔν καὶ τὰ ἄκοσμα ἐφυλάττετο τῶν ὀνομάτων. ἐπεὶ δέ ποτε ἐβιάζετό τι εἰπεῖν τῶν ἀπρεπῶν, ἀνεκρατήθη, ἀλλ' ἐσιώπησε μὲν αὐτὸ, ἐπέγραψε δὲ καλὰ τῷ τοίχῳ, δείξας μὲν ὃ εἰπεῖν ἐβιάζελο, ἃ μὴν βιαθεὶς εἶπεν.

Κεφ. κ'.

Περί τινος φλυάφε ἱσορίας.

Συβαρίτης ἀνὴρ παιδαγωγὸς, (καὶ γὰρ ἦν μετὰ τῶν ἄλλων Συβαριτῶν, καὶ αὐτοὶ ἐτρύφων,) τῷ παιδὸς, ὃν ἦγε διὰ τῆς ὁδῦ, ἰχάδι περιτυχόντος, καὶ ἀνελομένῳ, ἐπέπληξεν αὐτῷ ἰσχυρόταια. γελοιόταιο δὲ αὐτὸς τὸ εὕρημα παρὰ τῷ παιδὸς ἁρπάσας καλέτραγεν. ὅτε τῶτο ἀνελεξάμην ἐν ἱσορίαις Συβαριτικαῖς, ἐγέλασα, ἔδοκα δὲ αὐτὸ εἰς μνήμην, μὴ βασκήνας διὰ φιλανθρωπίαν γελάσαι καὶ ἄλλον.

Κεφ.

Κεφ. κά.

Περὶ Συάγρε ποιητῦ.

Ὅτι Σύαγρός τις ἐγένετο ποιητὴς μετ' Ὀρφέα καὶ Μουσαῖον, ὃς λέγεται τὸν Τρωϊκὸν πόλεμον πρῶτος ᾆσαι. μεγίσης ἔτος ὑποθέσεως λαβόμενος, καὶ ἐπιτολμήσας ταύτῃ.

Κεφ. κβ'.

Περὶ τυράννε κωλύσαντος τὲς ἑαυτῦ ὑπηκόες διαλέγεσθαι ἀλλήλοις.

Ὅτι Τρύζος τις τύραννος βελόμενος ἐξελεῖν τὰς συνωμοσίας, καὶ τὰς κατ' αὐτῦ ἐπιβελὰς, ἔταξε τοῖς ἐπιχωρίοις, μηδένα μηδενὶ διαλέγεσθαι, μήτε κοινῇ, μήτε ἰδίᾳ. καὶ ἦν τὸ πρᾶγμα ἀμήχανον καὶ χαλεπόν. ἐσοφίσαντο ἓν τὸ τῦ τυράννε πρόσταγμα, καὶ ἀλλήλοις ἔνευον, καὶ ἐχειρονόμεν πρὸς ἀλλήλες, καὶ ἐνεώρων δριμύ, καὶ αὖ πάλιν γαληναῖον, καὶ βλέμμα φαιδρὸν, καὶ ἐπὶ τοῖς σκυθρωποῖς καὶ ἀνηκέστοις ἕκαστος αὐτῶν συναφρυωμένες ἦν δῆλες, τὸ τῆς ψυχῆς πάθος ἐκ τῦ προσώπε τῷ πλησίον διαδεικνύς. ἐλύπει τὸν τύραννον καὶ

ταῦτα, καὶ ἐπίσευε, τέξεσθαί τι αὐτῷ πάντως κακὸν καὶ τὴν σιωπήν, διὰ τὸ τῶν χημάτων ποικίλον. ἀλλ' ἓν ἐκεῖνος καὶ τοῦτο κατέπαυσε. τῶν τις ἓν ἀχθόμενος τῇ ἀμηχανίᾳ, καὶ δυσφορῶν, καὶ τὴν μοναρχίαν καταλῦσαι διψῶν, ἀφίκετο εἰς τὴν ἀγοράν, εἶτα ἔκλαε σὰς πολλοῖς ἅμα καὶ θολεροῖς τοῖς δακρύοις. περιέσησαν[1] ἓν αὐτὸν καὶ περιῆλθον τὸ πλῆθος, καὶ ὀδυρμῷ κἀκεῖνοι συνείχοντο. ἦκεν ἀγγελία παρὰ τὸν τύραννον, ὡς ἐδεῖς αὐτῶν χρῆται νεύμαλι ἐκ ἔτι, δάκρυα δὲ αὐτοῖς ἐπιχωριάζει· ὁ δὲ ἐπειγόμενος καὶ τοῦτο παῦσαι, μὴ μόνον τῆς γλώττης καταγινώσκων δεινότητα, μηδὲ μόνον τῶν νευμάτων, ἀλλ' ἤδη καὶ τοῖς ὀφθαλμοῖς τὴν ἐκ Φύσεως ἀποκλείων ἐλευθερίαν, ἢ ποδῶν εἶχεν, ἀφίκετο σὺν τοῖς δορυφόροις, ἵνα ἀνασείλῃ τὰ δάκρυα. οἱ δὲ ἐκ ἔφθησαν ἰδόντες αὐτὸν, καὶ τὰ ὅπλα τῶν δορυφόρων ἁρπάσαντες, τὸν τύραννον ἀπέκτειναν.

Κεφ. κγ'.

Περὶ Κλεινίᾳ, καὶ Ἀχιλλέως μεσικῆ τὴν ὀργὴν ἀνασέλλειν φιλόνλων.

Κλεινίας ἀνὴρ ἦν σπεδαῖος τὸν τρόπον, Πυθαγόρειος δὲ τὴν σοφίαν. ἔτος εἴ ποτε

1) περιέσησαν.

ποτε εἰς ὀργὴν προήχθη, καὶ εἶχεν αἰθηλικῶς ἑαυτὸν εἰς θυμὸν ἐξαγομένῳ, παραχρῆμα πρινὴ ἀνάπλεως αὐτῷ ἡ ὀργὴ καὶ ἐπίθηλος γένηται, ὅπως διάκειται, τὴν λύραν ἁρμοσάμενος, ἐκιθάριζε. πρὸς δὲ τὸς πυνθανομένυς τὴν αἰτίαν ἀπεκρίνετο ἐμμελῶς, ὅτι παύνομαι. δοκεῖ δέ μοι, καὶ ὁ ἐν Ἰλιάδι Ἀχιλλεὺς ὁ τῇ κιθάρᾳ προσάδων, καὶ τὰ κλέα τῶν προλέρων διὰ τὸ μέλος εἰς μνήμην ἑαυτῷ ἄγων, τὴν μῆνιν κατευνάζειν. μεσικὸς γὰρ ὢν, τὴν κιθάραν πρώτην ἐκ τῶν λαφύρων ἔλαβε.

Κεφ. κδ'.

Περί τινων χρημάτων κρειττόνων ὑπὲρ τῶν πολιτῶν, καὶ τὸς δανειστὰς ἀποκτεινάντων.

Χρημάτων κατεφρόνησαν, καὶ μεγαλοφροσύνην ἐπεδείξαντο, ὁρῶντες ἐν πενίᾳ τὸς πολίτας ὄντας, πλουτοῦντες αὐτοὶ, ἐν μὲν Κορίνθῳ Θεοκλῆς, καὶ Θρασωνίδης, ἐν δὲ Μιτυλήνῃ Πρᾶξις. καὶ ἓν καὶ ἄλλοις συνεβάλευον ἐπικρθίσαι τῆς πενίας τὴν ἀνάγκην τοῖς ἀπορεμένοις. ἐπεὶ δ' ἐκ ἔπειθον, ἀλλ' αὐτοί γε τὰ ἑαυτῶν ἀφῆκαν χρέα. καὶ ὤναντο ἐκ εἰς ἀργύριον, ἀλλ' εἰς

αὐτὴν τὴν ψυχήν. οἱ γὰρ μὴ ἀφεθέντες, ἐπιθέμενοι τοῖς δανείσασι, προβαλόμενοι τῆς ὀργῆς τὰ ὅπλα, καὶ εὐλογωτάτην χρείαν τὴν ἄμαχον καὶ τὴν ἐκ τῶν ἐπεγόντων ἀνάγκην, ἀπέλειναν τὰς δανείσας.

Κεφ. κέ.

Πῶς τις ἔπεισεν ἐν πολιτείᾳ ὁμόνοιαν καθέξεσθαι.

Ἐσασίασάν ποτε πρὸς ἀλλήλους οἱ Χῖοι ἀνδρειότατα, νοσήσαντες νόσον ταύτην βαρυτάτην. ἀνὴρ ἦν ἐν αὐτοῖς πολιτικὸς τὴν φύσιν πρὸς τὰς σπαδάζοντας τῶν ἑταίρων πάντας ἐκβάλλειν τὰς ἐναντίας· μηδαμῶς, ἔφη, ἀλλ' ἐπεὶ κεκρατήκαμεν, ὑπολιπώμεθά τινας, ἵνα μὴ τῷ χρόνῳ προϊόντος ἐκ ἔχοντες ἀντιπάλους, ἡμῖν αὐτοῖς 1) ἀρχώμεθα πολεμεῖν. καὶ εἰπὼν ἔπεισε, καὶ γὰρ ἔδοξε καλῶς λέγειν, ἐπεὶ ἔτως ἔλεγεν.

Κεφ. κς'.

Περὶ Ἀνταγόρα Ἀρκεσίλαον λοιδορήσαντος.

Ἀρκεσίλαον τὸν ἐξ Ἀκαδημίας Ἀνταγόρας ὁ ποιητὴς ἐλοιδορεῖτο προσφθα-

1) ἀρξώμεθα.

φθαρεὶς 1) αὐτὰ, καὶ ταῦτα ἐν τῇ ἀγορᾷ. ὁ δὲ σφόδρα μεγαλοφρόνως ἔνθα ἑώρα μάλιστα συνεσῶτας πολλὰς, ἐνταῦθα ἐπορεύετο διαλεγόμενος, ἵνα ὁ λοιδορῶν ἐν πλείοσιν ἀχημονῇ. οἱ γὲν ἀκόντες ἀπεχρέφοντο, καὶ μανίαν ἐπεκάλεν τῷ Ἀνταγόρᾳ.

Κεφ. κζ'.

Περὶ Ἀγησιλάου.

Ἐγὼ δὲ ἐπαινῶ μάλιστα ἐκείνους, ὅσοι τὰ ὑποφυόμενα τῶν κακῶν φθείροντες ἀεὶ, ταῦτα ἐκκόπτουσι, πρινὴ δυνάμεώς τινος ἐπιλαβέσθαι. Ἀγησίλαος ἦν συνεβάλευσεν ἀκρίτως ἀποκτείνειν τὰς συνιούσας νύκτωρ ὑπὸ τὴν τῶν Θηβαίων εἰσβολήν.

Κεφ. κή.

Περὶ Πυθέου ῥήτορος.

Ὠνείδισέ τις τῷ ῥήτορι Πυθέᾳ, ὅτι κακός ἐστιν· ὁ δὲ ἐκ ἠρνήσατο. τὸ γὰρ συνειδὸς ἐκ ἐπέτρεπεν αὐτῷ. ἀπεκρίνατο δὲ 2) ἐκεῖνος, ἐλάχιστον χρόνον τῶν πεπολιτευμένων Ἀθήνησι γενέσθαι κακός. μέγα φρονῶν δῆλον, ὅτι μὴ διὰ τέλους ἦν τοιοῦτος, καὶ ἡγούμενος μὴ ἀδικεῖν, ἐπεὶ μὴ τοῖς πονηροτάτοις παρενεβάλετο. εἴωθες δὲ τοῦτο

1) αὐτῷ. 2) ἐκεῖνος.

τῷ Πυθέᾳ. ὁ γὰρ μόνον ὁ ἀδικήσας κακὸς, ἀλλὰ καὶ ὁ ἐννοήσας ἀδικῆσαι, παρό γε ἐμοὶ κριτῇ.

Κεφ. κθ'.

Ὅτι Λύσανδρος χρήματα εἰς Σπάρτην ἐκόμισεν.

Ὅτι Λύσανδρος ἐκόμισεν εἰς Λακεδαίμονα χρήματα, καὶ ἐδίδαξε τὸς Λακεδαιμονίους παρανομεῖν εἰς τὸ πρόσταγμα τοῦ θεοῦ, τὸ κελεῦον, ἄβατον εἶναι χρυσῷ καὶ ἀργύρῳ τὴν Σπάρτην. τῶν ἓν φρονέντων τινὲς διεκώλυον, φρόνημα ἔτι κεκτημένοι Λακωνικὸν, καὶ Λυκέργε, καὶ τῷ Πυθίᾳ ἄξιον. οἱ δὲ 1) προέμενοι, διεβλήθησαν· καὶ ἡ ἐξ ἀρχῆς αὐτῶν ἀρετὴ κατὰ μικρὸν ὑπέληξεν.

Κεφ. λ'.

Πῶς ὁ Ἄννων ἐκθεῖν ἑαυτὸν ἐβούλετο.

Ἄννων ὁ Καρχηδόνιος ὑπὸ τυφῆς ἐν τοῖς ἀνθρώπων ὅροις οὐκ ἠξίου διαμένειν, ἀλλ' ἐπενόει φήμας ὑπὲρ ἑαυτοῦ καλασπείρεσθαι κρείττονας, ἢ καλὰ τὴν φύσιν, ἥπερ ἓν ἔλαχεν. ὄρνιθας γὰρ τῶν ᾠδικῶν παμπόλλους πριάμενος, ἔτρεφεν ἐν σκότῳ αὐτὰς, ἓν

1) προσιέμενοι.

ἓν διδάσκων μάθημα λέγειν, θεός ἐστιν Ἄννων. ἐπεὶ δὲ ἐκεῖνοι μίαν φωνὴν ταύτην ἀκούοντες, ἐγκρατεῖς ταύτης ἐγένοντο, ἄλλον ἄλλοσε διαφῆκεν, οἰόμενος διαρρεῦσαι τῶν ὀρνίθων τὸ ὑπὲρ ἑαυτοῦ μέλος. οἱ δὲ τὸ πλεῖον ἀπολύσαντες ἅπαξ, καὶ ἐλευθερίαν λαβόμενοι, καὶ ἐς ἤθη τὰ σύντροφα αὐτοῖς ἐλθόντες, τὰ οἰκεῖα ᾔδον, καὶ τὰ τῶν ὀρνίθων ἐμισέργων, μακρὰ χαίρειν εἰπόντες Ἄννωνι, καὶ μαθήμασι τοῖς ἐν τῇ δουλείᾳ.

Κεφ. λά.

Περὶ Πτολεμαίου Τρύφωνος ἐπικαλουμένου.

Πτολεμαῖος ὁ Τρύφων, (τοῦτο γὰρ αὐτὸν ἐκάλουν ἐκ τοῦ βίου,) γυναικὸς ὡραίας ἐντυχεῖν αὐτῷ βουλομένης, ὁ δὲ ἔφη, ἀπηγόρευσέ μοι ἡ ἀδελφὴ, παρὰ γυναικὸς καλῆς λόγον δέξασθαι. ἡ δὲ ἀτρέστως πάνυ, καὶ ἐμμελῶς, παρὰ καλοῦ λάβοις ἄρ' εἶπε. καὶ ἐκεῖνος ἀκούσας ἐπήνεσε.

Κεφ. λβ'.

Περὶ Τιμανδρίδου ὃν ἐπαινέσαντος πλουτεῖν τὸν υἱόν.

Λακεδαιμόνιος ἀνὴρ, Τιμανδρίδας ὄνομα, ἀποθνήσκων, τὸν υἱὸν ἀπέλιπε μελε-

δωνὸν τῆς οἰκίας. εἶτα ἐπανελθὼν χρόνῳ ὕστερον, καὶ εὑρὼν τὴν ὀσίαν ποιήσαντα, ἧς ἀπέλιπε, πλείω, ἔφη, πολλὰς ἀδικεῖσθαι ὑπ' αὐτοῦ θεούς τε, καὶ οἰκείους, καὶ ξένους. τὰ γὰρ περιτλὰ τούτων εἰς ἐκείνους ἀναλίσκεσθαι ὑπὸ τῶν ἐλευθέρων. τὸ δὲ, ζῶντα μὲν φαίνεσθαι πένητα, τελευτήσαντα δὲ καταφωραθῆναι πλέσιον, ἀλλὰ τοῦτο τῶν ἐν ἀνθρώποις ἐστὶν ἄϊχιστον.

Κεφ. λγ'.

Περὶ Πλάτωνος καὶ Διογένους.

Διελέγετο ὑπέρ τινων ὁ Πλάτων, παρὼν δ' ὁ Διογένης ὀλίγον αὐτῷ προσεῖχεν. ἠγανάκτησεν οὖν ἐπὶ τούτοις ὁ Ἀρίστωνος, καὶ ἔφη· ἐπάκουσον τῶν λόγων, κύον. καὶ ὃς ἀδὲν διαταραχθεὶς, ἀλλ' ἐγὼ, εἶπεν, ἐκ ἐπανῆλθον ἐκεῖθεν ὅθεν ἐπεράθην, ὥσπερ οἱ κύνες· αἰνιττόμενος αὐτοῦ τὴν εἰς Σικελίαν ὁδόν.

Εἰώθει δέ, φασιν, ὁ Πλάτων περὶ Διογένους λέγειν, ὅτι μαινόμενος ἕτος Σωκράτης ἐστίν.

Κεφ.

Κεφ. λδ'.

Παρὰ τίνος ἔμαθον τὰ νόμιμα οἱ Αἰγύπτιοι, καὶ περὶ τῶν ἐκείνων δικαστῶν.

Αἰγύπτιοι φασὶ παρ' Ἑρμοῦ τὰ νόμιμα ἐκμεσωθῆναι. ἔτω δὲ καὶ ἕκαστοι τὰ παρ' ἑαυτοῖς σεμνύνειν προήρηνται. δικαστὰς δὲ τὸ ἀρχαῖον παρ' Αἰγυπτίοις [οἱ] ἱερεῖς ἦσαν. ἦν δὲ τούτων ἄρχων ὁ πρεσβύτατος, καὶ ἐδίκαζεν ἅπαντας. ἔδει δὲ αὐτὸν εἶναι δικαιότατον ἀνθρώπων, καὶ ἀφειδέστατον. εἶχε δὲ καὶ ἄγαλμα περὶ τὸν αὐχένα ἐκ σαπφείρου λίθου, καὶ ἐκαλεῖτο [τὸ] ἄγαλμα Ἀλήθεια. ἐγὼ δὲ ἠξίουν, μὴ λίθου πεποιημένην καὶ εἰκασμένην τὴν ἀλήθειαν περιφέρειν τὸν δικαστὴν, ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ ἔχειν αὐτήν.

Κεφ. λε.

Περὶ Λαΐδος.

Ὅτι Λαὶς καὶ Ἀξίνη ἐκαλεῖτο. ἤλεγχε δὲ αὐτῆ τὸ ἐπώνυμον τοῦτο τὴν τοῦ ἤθους ἀγριότητα, καὶ ὅτι πολὺ πράττετο, καὶ ἔτι μᾶλλον παρὰ τῶν ξένων, ὅτε ἀπαλλαττομένων θᾶττον.

Κεφ. λς'.

Ὅτι γελοῖοι οἱ διὰ τὰς πατέρας μέγα φρονοῦντες.

Γελᾶν δὲ ἔξεσιν ἐπὶ τοῖς μέγα φρονοῦσι διὰ τὰς πατέρας, καὶ τὰς ἄνω τῶ γένας, εἴγε Μαρίῳ μὲν τὸν πατέρα ὐκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα. καὶ Κάτωνα δὲ, καὶ 1) Σερβίλιον, καὶ Ὁσίλιον, καὶ Ῥωμύλον.

Κεφ. λζ'.

Περὶ ἀγαλμάτων καὶ εἰκόνων.

Φιλῶ δὲ μηδὲ τὰ ἀγάλματα, ὅσα ἡμῖν ἡ πλαστικὴ δείκνυσι, μηδὲ τὰς εἰκόνας ἀργῶς ὁρᾶν. ἔσι γάρ τι καὶ ταῖς χειρεργίαις σοφὸν, καὶ ἐν τούτοις. καὶ πολλὰ μὲν καὶ ἄλλα δύναταί τις καταγνῶναι ἔχοντα ταύτη, ἐν δὲ τοῖς καὶ ἐκεῖνο· τῶν Μουσῶν εἴδεις εἴδέποτε, ὅτε γραφικὸς ἀνὴρ, ὅτε πλαστικὸς, οἷός τε ἐγένετο ψευδίσατα, καὶ κίβδηλα, καὶ ἀλλότρια τῶν Διὸς θυγατέρων τὰ εἴδη παρασῆσαι ἡμῖν. ἢ τίς ὅτως νεανικῶς ἐμάνη δημιεργὸς, ὥστε ὡπλισμένας ἡμῖν ἐργάσασθαι; ὁμολογεῖ δὲ τοῦτο, ὅτι δεῖ τὸν ἐν μέσαις βίον εἰρηνικόν τε ἅμα καὶ πρᾷον εἶναι, καὶ ἄξιον ἐκείνων. Κεφ.

1) Σέρβιον.

Κεφ. λή.

Περὶ Ἐπαμινώνδε καὶ Πελοπίδε.

Ἐπαμινώνδε τῆ Θηβαίῳ πολλὰ μὲν καὶ ἄλλα καλὰ εἶδα, ἐν δὴ τοῖς καὶ τόδε. ἔλεγε πρὸς Πελοπίδαν, μὴ πρότερον ἀπαλλάττεσθαι τῆς ἀγορᾶς ἡμέρᾳ, πρινὴ φίλον τοῖς ἀρχαίοις τινὰ προσπορίσαι νεώτερον.

Κεφ. λθ'.

Πῶς ὁ Ἀνταλκίδας ἔλεγξε δῶρον μύρῳ βεβαμμένον αὐτῷ πεμφθέν.

Ὁ Περσῶν βασιλεὺς, (βέλομαι γάρ τι ὑμῖν καὶ φαιδρὸν εἰπεῖν,) στέφανον εἰς μύρον βάψας, (διεπέπλεκτο δὲ ῥόδων ὁ στέφανος,) ἔπεμψεν Ἀνταλκίδα, πρεσβεύοντι ὑπὲρ εἰρήνης πρὸς αὐτόν. ὁ δὲ, δέχομαι μὲν, ἔφη, τὸ δῶρον, καὶ ἐπαινῶ τὴν φιλοφροσύνην, ἀπώλεσας δὲ τὴν ὀσμὴν τῶν ῥόδων, καὶ τὴν τῆς Φύσεως εὐωδίαν, διὰ τὴν ἐκ τῆς τέχνης κιβδηλίαν.

Κεφ. μ'.

Περὶ Ἀλεξάνδρε τῆ Φεραίων τυράννε ὠμότητος.

Ἀλέξανδρος ὁ Φεραίων τύραννος ἐν τοῖς μάλισα ἔδοξεν ὠμότατος εἶναι. Θεοδώρε

δώρε δὲ τῦ τῆς τραγωδίας ποιητῦ ὑποκρινομένε τὴν Λερόπην σφόδρα ἐμπαθῶς, ὅδε εἰς δάκρυα ἐξέπεσεν, εἶτα ἐξανέστη τῦ θεάτρε. ἀπολογέμενος δὲ ἔλεγε τῷ Θεοδώρῳ, ὡς ὁ καταφρονήσας, ὁδὲ ἀτιμάσας αὐτὸν ᾤχετο, ἀλλ' αἰδέμενος, εἰ τὰ μὲν ὑποκριτῦ πάθη οἷός τε ἦ ἐλεεῖν, τὰ δὲ τῶν ἑαυτῦ πολιτῶν οὐχί.

Κεφ. μά.

Περὶ Ἀπολλοδώρε μανίας διὰ τὸν οἶνον.

Ὅτι Ἀπολλόδωρος πλεῖσον ἀνθρώπων πίνων οἶνον ἐκ ἀπεκρύπτετο τὸ ἑαυτῦ κακὸν, ὁδὲ ἐπειρᾶτο περιαμπέχειν τὴν μέθην, καὶ τὰ ἐξ αὐτῆς κακά· ἀλλὰ καὶ ἐν τῦ οἴνε ὑπαναφλεγόμενος, καὶ ὑπεξαπτόμενος ἐγίνετο φονικώτερος, πρὸς τῇ φύσει, καὶ τὸ σῶμα ἔχων ἐνδόσιμον.

Κεφ. μβ.

Ξενοκράτες γνώμη.

Ξενοκράτης ὁ Πλάτωνος ἑταῖρος ἔλεγε, μηδὲν διαφέρειν, ἢ τὲς πόδας, ἢ τὲς ὀφθαλμὲς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι. ἐν ταυτῷ γὰρ ἁμαρτάνειν, τόν τε εἰς ἃ μὴ δεῖ χωρία βλέποντα, καὶ εἰς ἃ μὴ δεῖ τόπες παριόντα.

Κεφ.

Κεφ. μγ'.

Περὶ Πτολεμαίε καὶ Βερενίκης.

Ὁ μὲν Πτολεμαῖος, φασι, 1) κάθησο ἐπὶ κύβοις, καὶ πεπλεύων διετέλει. εἶτά τις αὐτῷ παρεσὼς ἀνεγίνωσκε τῶν κατεγνωσμένων τὰ ὀνόματα, καὶ τὰς καταδίκας αὐτῶν προσεπέλεγεν, ἵνα ἐκεῖνος παρασημήνηται τὲς ἀξίες θανάτε. Βερενίκη δὲ ἡ γαμετὴ αὐτε, λαβεῖσα τὸ βιβλίον παρὰ τῦ παιδὸς, εἶτα ἐκ εἴασε διαγνωσθῆναι τὸ 2) πᾶν· ἐκ ἔστι, φήσασα, πάνυ σφόδρα προσέχοντα τὴν διάνοιαν, ὑπὲρ ἀνθρώπε ψυχῆς διαλογίζεσθαι, καὶ μὴ πρὸς παιδιὰν γινόμενον. ὁ γὰρ ὁμοίαν εἶναι τὴν πτῶσιν τὴν τῶν κύβων, καὶ τὴν τῶν σωμάτων. πρὸς ταῦτα ὁ Πτολεμαῖος ἤδη, καὶ ὁδέποτε κυβεύων μετὰ ταῦτα ὑπὲρ τῆς ἀνθρώπε κρίσεως ἤκουσεν.

Κεφ. μδ'.

Λακωνικὸς νόμος περὶ φιλαργυρίας.

Λακωνικὸν μειράκιον ἐπρίατο χωρίον ὑπερεύωνον, εἶτα ἐπὶ τὰς ἀρχὰς ἦλθη, καὶ ἐζημιώθη. τὸ δὲ αἴτιον τῆς καταδίκης ἐκεῖνο ἦν, ἐπεὶ νέος ὢν τῦ κερδαίνειν ὀξύτατα ἦρα. ἦν δὲ Λακεδαιμονίοις ἐν τοῖς μάλισα ἀνδρι-

1) ὑπασος δὲ, αὐτὸν ἐᾷν δεῖ, κ. 2) πᾶν ἐκ ἔστι· φ.

ἀνδρικὸν καὶ τοῦτο, μὴ πρὸς μόνας πολεμίας παρατετάχθαι, ἀλλὰ καὶ πρὸς ἀργύριον.

Κεφ. μέ.

Περί τινων γυναικῶν ἐπαίνου ἀξίων.

Γυναῖκας τῶν Ἑλλήνων ἐπαινέσομεν, Πηνελόπην, Ἄλκηστιν, καὶ τὴν Πρωτεσιλάου. Ρωμαίων, Κορνηλίαν, καὶ Πομπίαν, καὶ Κεσιλίαν. ἐδυνάμην δὲ εἰπεῖν καὶ ἄλλας, ἀλλ' ὁ βέλομαι τῶν μὲν Ἑλλήνων εἰπεῖν ὀλίγας, ἐπικλύσαι δὲ τοῖς τῶν Ῥωμαίων ὀνόμασιν, ὡς ἂν μή μέ τις δοκοίη χαρίζεσθαι ἐμαυτῷ διὰ τὴν πατρίδα.

Κεφ. μς'.

Περὶ Μαγνήτων παρατάξεως κατὰ τῶν Ἐφεσίων.

Οἱ Μαιάνδρῳ παροικοῦντες Μάγνητες, Ἐφεσίοις πολεμοῦντες, ἕκαστος τῶν ἱππέων ἦγεν αὐτῷ συνεπόμενον θηρατὴν κύνα, καὶ ἀκοντιστὴν οἰκέτην. ἡνίκα δὲ ἔδει συμμίξαι, ἐνταῦθα οἱ μὲν κύνες προπηδῶντες ἐτάραττον τὴν παρεμβολήν, φοβεροί τε, καὶ ἄγριοι, καὶ ἐντυχεῖν ἀμείλικτοι ὄντες· οἱ δὲ οἰκέται προπηδῶντες τῶν δεσποτῶν, ἠκόντιζον. ἦν δὲ ἄρα ἐπὶ τῇ Φθιανέσῃ διὰ τὲς

τὲς κύνας ἀταξία καὶ τὰ παρὰ τῶν οἰκετῶν δρώμενα ἐνεργῆ· εἶτα ἐκ τρίτε ἐπῆεσαν αὐτοί.

Κεφ. μζ'.

Περὶ Ζεύξιδος Ἑλένης εἰκόνος, καὶ Νικοσράτε ζωγράφε.

1) Ζεῦξις ὁ Ἡρακλεώτης ἔγραψε τὴν Ἑλένην. Νικόστρατος ἦν ὁ ζωγράφος ἐξεπλήττετο τὴν εἰκόνα, καὶ τεθηπὼς τὸ γράμμα ἰδιῶτος ἦν. ἤρετο ἔν τις αὐτὸν προσελθὼν, τί δὴ παθὼν ἔτω θαυμάζει τὴν τέχνην; ὁ δὲ, ἐκ ἂν με ἠρώτησας, εἶπεν, εἰ τὲς ἐμὲς ὀφθαλμὲς ἐκέκτησο. ἐγὼ δ' ἂν φαίην τοῦτο καὶ ἐπὶ τῶν λόγων, ἀλλ' εἴ τις 2) ἔχει πεπαιδευμένα ὦτα, ὥσπερ ἐν οἱ χειρεργοὶ τεχνικὰ ὄμματα.

Κεφ. μή.

Τίνας ὁ Ἀλέξανδρος ὑπώπτευεν.

Ὅτι ὁ Ἀλέξανδρος Πτολεμαίε τὸ δεξιὸν ὑφωρᾶτο, Ἀρρίε δὲ ἐδείδιει τὸ ἄτακτον, τό γε μὴν νεωτεροποιὸν Πύθωνος.

Κεφ.

1) Ὅτι Ζ. 2) ἔχοι.

Κεφ. μθ'.

Διὰ τί ὁ Φίλιππος τὰς τῶν δοκίμων τῶν υἱὰς περὶ τὴν ἑαυτοῦ θεραπείαν εἶχεν.

Ὅτι Φίλιππος τῶν ἐν Μακεδονίᾳ δοκιμωτάτων τὰς υἱεῖς παρελαμβάνε περὶ τὴν ἑαυτοῦ θεραπείαν εἶχεν· ἔνιοι, φασὶν, ἐνυβρίζων αὐτοῖς, ἐδὲ διευτελίζων· ἀλλ' ἐκ τῶν ἐναντίων, καρτερικὰς αὐτὰς ἐκπονῶν, καὶ ἑτοίμους πρὸς τὸ τ δέοντα πράττειν ἀποφαίνων. πρὸς δὲ τε[illegible]φῶντας αὐτῶν, καὶ εἰς τὰ ἐπιτατ[illegible]α ῥᾳθύμως ἔχοντας, διέκειτό φασι πολεμίως. Ἀφθόνητον γὲν ἐμασίγωσεν, ὅτι τὴν τάξιν ἐκλιπὼν ἐξετράπετο τῆς ὁδοῦ διώκων, καὶ παρῆλθεν εἰς πανδοκέως. καὶ Ἀρχέδαμον ἀπέκτεινεν, ὅτι προστάξαντος αὐτοῦ ἐν τοῖς ὅπλοις συνέχειν ἑαυτὸν, ἐδιαπελλάσατο. (ἤλπισε γὰρ διὰ τῆς κολακείας καὶ ὑποδρομῆς χειρώσασθαι τὸν Βασιλέα,) ἅτε ἀνὴρ ἥττων τοῦ κερδαίνειν ὤν.

ΤΕΛΟΣ.

SISMANOGLIO
MEGARO